Cum neminem priorum in libros Archimedis, qui sunt de sphaera et cylindro, idonea scripsisse cognouissem et intellexissem, hoc non ob facilitatem theorematum praetermissum esse (egent enim, ut scis, deliberatione diligenti et mente imagines rerum bene concipienti), concupiui pro uiribus meis, quae in iis difficilia essent perspectu, dilucide exponere, cum ad hoc conandum magis adducerer, eo quod nemo adhuc ad hoc argumentum adcessisset, quam difficultate deterrerer, simul Socratis illud mecum reputans, deo adiuuante satis ueri simile esse, nos propositum ad finem perducturos esse; tertio autem cogitans, etiam sicubi ob iuuentutem a ueris numeris modisque aberrassem, hoc ab accurata tua cum reliquae philosophiae tum mathematices cognitione correctum iri, ad tuum arbitrium, Ammoni philosophorum praeclarissime, confugi. deceat autem te studium meum adiuuare, et, si inanis uidebitur libellus, omnino ne cum quoquam alio communicaueris, sin non prorsus a consilio aberrare, me certiorem fac, quid de eo iudices; nam si tuo iudicio probabitur, fortasse etiam alia scripta Archimedis explicare conabor.

### In definitiones.

Praemissis theorematis, quae expositurus est, morem ab omnibus geometris in expositione obseruatum retinens nomina,

---

1 *Ευτοκιου Ασκαλωνιτου υπομνημα εις το πρωτον των Αρχιμηδους περι σφαιρας και κυλινδρου* A, Eutokii ascalonite rememoracio in librum (primum add. m. rec.) archimedis de spera et chylindro ex editione lecta a millesio mecanico isedoro nostro doctore B. 3 *εὑρὼν*] inveniens B, *ευρον* A. 11 *ἐπὶ τέλος*] in finem B, *επι τελους* A. 12 *ἐκ τρίτων*] scripsi, *εκ τριων* AB. 18 *αὐτόθεν*] A, om. B. 25 *τὸ σύνηθες*] $G^2$, consuetum B, *του συνηθων* A.

σατο, καὶ τοὺς ὅρους τῶν ὑποθέσεων καὶ αὐτὰς τὰς ὑποθέσεις διὰ τῆς ἀρχῆς τοῦ συγγράμματος διασαφῆσαι βούλεται καί φησιν πρῶτον εἶναί τινας ἐν ἐπιπέδῳ καμπύλας γραμμάς, αἵτινες τῶν ἐπιζευγνυουσῶν τὰ πέρατα αὐτῶν εὐθειῶν ἢ πᾶσαι ἐπὶ τὰ αὐτά εἰσιν ἢ οὐδὲν ἔχουσιν ἐπὶ τὰ ἕτερα. σαφὲς δ' ἂν εἴη τὸ λεγόμενον, εἰ γνωσόμεθα, τίνας καλεῖ τὰς ἐν ἐπιπέδῳ καμπύλας γραμμάς. ἰστέον οὖν, ὅτι καμπύλας γραμμὰς καλεῖ οὐχ ἁπλῶς τὰς κυκλικὰς ἢ κωνικὰς ἢ ἄκλαστον ἐχούσας τὴν συνέχειαν, ἀλλὰ πᾶσαν ἁπλῶς ἐν ἐπιπέδῳ γραμμὴν τὴν παρὰ τὴν εὐθεῖαν καμπύλην ὀνομάζει, μίαν δὲ γραμμὴν ἐν ἐπιπέδῳ τὴν ὁπωσοῦν συναπτομένην, ὥστε κἂν ἐξ εὐθειῶν σύγκειται . . . . . τῇ *ΑΒΓΔ*. ἀλλ' ἐπειδή, ὡς καὶ ἀνωτέρω εἴρηται, καμπύλας γραμμὰς οὐ τὰς περιφερεῖς μόνον καλεῖ, ἀλλὰ καὶ τὰς ἐξ εὐθειῶν συγκειμένας, ἐκ δὲ τούτων ἦν ἡ ἐπιλογὴ τῶν ἐπὶ τὰ αὐτὰ κοίλων, ἐνδεχόμενον ἂν εἴη λαβεῖν ἐπί τινος ἐπὶ τὰ αὐτὰ κοίλης γραμμῆς δύο τυχόντα σημεῖα, ὥστε τὴν ἐπ' αὐτὰ ἐπιζευγνυμένην εὐθεῖαν ἐπὶ μηδέτερα μὲν μέρη πίπτειν τῆς γραμμῆς, ἐπ' αὐτὴν δὲ ἐφαρμόζειν. διό φησιν ἐπὶ τὰ αὐτὰ κοίλην καλεῖν γραμμήν, ἐν ᾗ αἱ διὰ δύο ὁποιωνοῦν σημείων ἀγόμεναι εὐθεῖαι ἤτοι πᾶσαι ἐπὶ τὰ αὐτὰ μέρη πίπτουσιν τῆς γραμμῆς ἢ τινὲς μὲν ἐπὶ τὰ αὐτά, τινὲς δὲ κατ' αὐτῆς, ἐπὶ τὰ ἕτερα δὲ μέρη οὐδεμία· τὰ δὲ αὐτὰ ἔξεστιν ἐπινοεῖν καὶ ἐπὶ τῶν ἐπιφανειῶν.

εἶτα ἑξῆς ὀνομάζει τομέα στερεὸν καὶ ῥόμβον στερεὸν σαφῶς ἐμφανίζων τὴν ἔννοιαν τῶν ὀνομάτων.

μετὰ δὲ ταῦτα αἰτήματά τινα λαμβάνειν ἀξιοῖ χρησιμεύοντα αὐτῷ πρὸς τὰς ἑξῆς ἀποδείξεις καὶ ὄντα μὲν

quibus ipse suo arbitrio usus est, et definitiones suppositionum et suppositiones ipsas initio libri explicari uult et primum dicit, esse quasdam in plano curuas lineas, quae aut totae in eadem parte sint rectarum terminos earum iungentium aut nihil in altera parte positum habeant [def. 1]. perspicuum autem erit, quod dicit, si cognouerimus, quales lineas in plano curuas intellegat. sciendum igitur, eum curuas lineas non proprie circulares aut conicas intellegere, aut quae continuationem non fractam habeant, sed omnes omnino in plano lineas praeter rectam curuas uocat, et unam in plano lineam, quae quoquo modo composita sit, ita ut, siue ex lineis rectis composita est . . . . . lineae $AB\Gamma\Delta$. quoniam autem, ut etiam supra dictum est, curuas lineas non arcuatas solas intellegit, sed etiam ex rectis lineis compositas, et ex his segregabantur lineae in eandem partem cauae, fieri poterit, ut in linea in eandem partem caua duo quaeuis puncta sumantur, ita ut linea inter ea ducta in neutram partem lineae cadat, sed cum ea congruat. itaque dicit, se in eandem partem cauam lineam eiusmodi uocare, in qua sumptis duobus punctis quibuslibet rectae puncta iungentes aut omnes in eandem partem lineae cadant, aut aliae in eandem partem, aliae in ipsam lineam, nulla autem in alteram partem [def. 2]. eadem autem etiam in superficiebus intellegi possunt [def. 3—4].




deinceps denominat sectorem solidum [def. 5] et rhom-

---

**3—6** signa mg. adp. AB, ut semper in lemmatis. **9** *κωνικὰς*] GE², *κονικας* A. **13** Post *σύγκειται* lac. dimidiae columnae reliquit B add. hic de exemplari greco perditum erat unum folium, *ἓν ὅλον σελίδιον ἢ καὶ δύο λείπει* G, hic deest una charta in exemplari Graeco Cr. **21—25** non sign. AB. **26** *ἐπὶ τῶν*] G², om. A, *ἐπὶ* HE², intellegere de superficiebus B.

κἀξ αὐτῆς τῆς αἰσθήσεως ὡμολογημένα, οὐδὲν δὲ ἧττον δυνατὰ καὶ ἀποδειχθῆναι ἔκ τε τῶν κοινῶν ἐννοιῶν καὶ ἐκ τῶν δεδειγμένων ἐν τοῖς Στοιχείοις.

ἔστι δὲ πρῶτον τῶν αἰτημάτων τὸ τοιόνδε· πασῶν τῶν ταὐτὰ πέρατα ἐχουσῶν γραμμῶν ἐλαχίστην εἶναι τὴν εὐθεῖαν.

ἔστω γὰρ ἐν ἐπιπέδῳ εὐθεῖα μέν τις πεπερασμένη ἡ $AB$, ἑτέρα δέ τις γραμμὴ ἡ $A\Gamma B$ τὰ αὐτὰ πέρατα ἔχουσα τὰ $A$, $B$. φησὶν δὴ δεδόσθαι αὐτῷ τὴν $AB$ ἐλάττονα εἶναι τῆς $A\Gamma B$. λέγω οὖν, ὅτι τοῦτο ἀληθὲς ὂν ᾐτήσατο.

εἰλήφθω γὰρ ἐπὶ τῆς $A\Gamma B$ τυχὸν σημεῖον τὸ $\Gamma$, καὶ ἐπεζεύχθωσαν αἱ $A\Gamma$, $\Gamma B$· φανερὸν δή, ὅτι αἱ $A\Gamma$, $\Gamma B$ τῆς $AB$ μείζους εἰσίν. πάλιν δὴ εἰλήφθωσαν ἐπὶ τῆς $A\Gamma B$ γραμμῆς ἄλλα τυχόντα σημεῖα τὰ $\Delta$, $E$, καὶ ἐπεζεύχθωσαν αἱ $A\Delta$, $\Delta\Gamma$, $\Gamma E$, $EB$· ὁμοίως δὴ καὶ ἐνταῦθα δῆλον, ὅτι δύο μὲν αἱ $A\Delta$, $\Delta\Gamma$ τῆς $A\Gamma$ μείζους εἰσίν, δύο δὲ αἱ $\Gamma E$, $EB$ τῆς $\Gamma B$· ὥστε αἱ $A\Delta$, $\Delta\Gamma$, $\Gamma E$, $EB$ πολλῷ μείζους εἰσὶ τῆς $AB$. ὁμοίως δή, κἂν ἄλλα σημεῖα λαβόντες μεταξὺ τῶν εἰλημμένων ἐπιζεύξωμεν ἐπὶ τὰ νῦν ληφθέντα εὐθείας, εὑρήσομεν αὐτὰς ἔτι μείζους οὔσας τῆς $AB$, καὶ τοῦτο συνεχῶς ποιοῦντες τὰς μᾶλλον συνεγγιζούσας τῇ $AB\Gamma$ γραμμῇ εὐθείας ἔτι μείζους εὑρήσομεν. ὥστε ἐκ τούτου συμφανὲς εἶναι αὐτὴν τὴν γραμμὴν μείζονα εἶναι τῆς $AB$ δυνατοῦ ὄντος κατὰ πᾶν αὐτῆς σημεῖον ἐπιζεύξαντας εὐθείας λαβεῖν ἐξ εὐθειῶν συγκειμένην τὴν οἷον αὐτὴν οὖσαν γραμμὴν μείζονα δεικνυμένην διὰ τῶν αὐτῶν τῆς

---

**4** **6** non sign. AB. **7** τις] BGE², τι A. **10** $A\Gamma B$] B, $A\Gamma$ A. **15** τῆς] E², τας A. **21** εὑρήσομεν] G, εὑρησωμεν A. **22** οὖσας] addidi, ησ A, om. BGH.

bum solidum [def. 6] satis perspicue declarato sensu nominum.

deinde postulata quaedam adsumit ad demonstrationes sequentes utilia, et quae quidem ab ipso sensu concedantur, sed nihilominus etiam ex notionibus communibus propositionibusque in Elementis demonstratis demonstrari possint.

primum autem postulatum hoc est: omnium linearum eosdem terminos habentium minimam esse rectam [post. 1].

sit enim in plano linea aliqua recta terminata $AB$ et alia linea $A\Gamma B$ eosdem terminos habens $A$, $B$. dicit igitur, sibi concessum esse, rectam $AB$ minorem esse linea $A\Gamma B$. dico igitur, hoc uere postulatum esse.

sumatur enim in linea $A\Gamma B$ quoduis punctum $\Gamma$, et ducantur $A\Gamma$, $\Gamma B$. adparet igitur, esse $A\Gamma + \Gamma B > AB$ [Eucl. I, 20]. rursus in linea $A\Gamma B$ alia quaeuis puncta sumantur $\Delta$, $E$, et ducantur $A\Delta$, $\Delta\Gamma$, $\Gamma E$, $EB$. eodem igitur modo hic quoque adparet, esse $A\Delta + \Delta\Gamma > A\Gamma$ et

$$\Gamma E + EB > \Gamma B \text{ [Eucl. I, 20]};$$

quare $A\Delta + \Delta\Gamma + \Gamma E + EB$ multo maiores sunt quam $AB$. eodem igitur modo, etiam si aliis punctis inter ea, quae sumpsimus, sumptis rectas ad puncta postea sumpta duxerimus, eas adhuc maiores inueniemus rectas $AB$, et hoc deinceps facto rectas lineae $AB\Gamma$ magis adpropinquantes adhuc maiores inueniemus. quare hinc manifestum est, ipsam lineam maiorem esse recta $AB$, cum fieri possit, ut ad omnia puncta eius ductis rectis sumatur linea, qualis proxime est ipsa, ex lineis rectis composita, quae eadem ratione demonstratur maior esse recta $AB$; neque enim absurdum est in demon-



*AB*· οὐ γὰρ ἄτοπον ἐν ταῖς τῶν ὁμολογουμένων ἀποδείξεσιν καὶ τοιαύτας ἐννοίας προσλαμβάνειν.

μετὰ δὴ τοῦτό φησιν λαμβάνειν καὶ τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν γραμμῶν ἐκείνας ἀνίσους εἶναι τὰς ἐπὶ τὰ αὐτὰ κοίλας οὔσας κατὰ τὸν ἀνωτέρω εἰρημένον τρόπον· οὐ μόνον δὲ ἤρκεσεν εἰς τὸ ἀνίσους εἶναι τὸ ἐπὶ τὰ αὐτὰ κοίλας εἶναι, ἀλλὰ καὶ ὅταν ἡ ἑτέρα τὴν ἑτέραν ἢ ὅλην περιλαμβάνῃ ἢ μέρος μὲν περιλαμβάνῃ, μέρος δὲ καὶ κοινὸν ἔχῃ· καὶ μείζονα εἶναι τὴν περιλαμβάνουσαν τῆς περιλαμβανομένης.

νενοήσθωσαν γὰρ πρὸς τὸ καὶ τοῦτο κατάδηλον γενέσθαι ἐν ἐπιπέδῳ δύο γραμμαὶ αἱ *ABΓΔEZ* καὶ *AHΘZ* τὰ αὐτὰ πέρατα ἔχουσαι τὰ *A*, *Z* καὶ ἐπὶ τὰ αὐτὰ κοῖλαι καὶ ἔτι περιλαμβανομένη ὅλη ἡ *AHΘZ* ὑπὸ τῆς *ABΓΔEZ* γραμμῆς καὶ τῆς τὰ αὐτὰ πέρατα ἐχούσης αὐταῖς τῆς *AZ* εὐθείας. φημὶ δή, ὅτι καὶ ἄνισοί εἰσιν αἱ προκείμεναι γραμμαί, καὶ μείζων ἡ περιλαμβάνουσα.




ἐπεζεύχθωσαν γὰρ αἱ *BΘ*, *ΓZ*, *ΔZ*. ἐπεὶ οὖν, ἐὰν νοηθῇ ἐπιζευγνυμένη ἡ *ΘA*, ἐπὶ μιᾶς τῶν πλευρῶν τοῦ *ABΘ* ἐντὸς συνεσταμέναι εἰσὶν αἱ *AH*, *HΘ*, ἐλάττους εἰσὶν αἱ *AH*, *HΘ* τῶν *AB*, *BΘ*. κοινὴ προσκείσθω ἡ *ΘZ*· αἱ ἄρα *AH*, *HΘ*, *ΘZ* ἐλάττους εἰσὶν τῶν *AB*, *BΘ*, *ΘZ*. ἀλλ' αἱ *BΘ*, *ΘZ* ἐλάττους εἰσὶ τῶν *BΓZ*· ἐντὸς γὰρ πάλιν ἐπὶ μιᾶς τοῦ *BΓZ* συνεσταμέναι εἰσίν· πολλῷ ἄρα αἱ *AB*, *BΓ*, *ΓZ* τῶν *AH*, *HΘ*, *ΘZ* μείζους

strationibus earum rerum, quae constant inter omnes, etiam eiusmodi rationes adsumere.

deinde dicit se hoc quoque postulare: earum linearum, quae eosdem terminos habeant, illas inaequales esse, quae in eandem partem cauae sint, quae quales sint, supra expositum est [p. 4, 21 sq.]; sed quod in eandem partem cauae sunt, nondum satis est ad efficiendum, ut inaequales sint, sed si etiam altera alteram aut totam comprehendit aut partem comprehendit, partem communem habet; et comprehendentem maiorem esse ea, quae comprehendatur [post. 2]. nam, ut hoc quoque adpareat, fingantur duae lineae in plano $ABI\Gamma\Delta EZ$ et $AH\Theta Z$ eosdem terminos $A, Z$ habentes et in eandem partem cauae, et praeterea $AH\Theta Z$ tota ab linea $ABI\Gamma\Delta EZ$ rectaque $AZ$ eosdem terminos habenti comprehensa. dico igitur, et lineas propositas inaequales esse et comprehendentem maiorem.

ducantur enim $B\Theta$, $\Gamma Z$, $\Delta Z$. quoniam igitur, si ducta fingitur recta $\Theta A$, in uno latere trianguli $AB\Theta$ intra positae sunt rectae concurrentes $AH$, $H\Theta$, erit

$$AH + H\Theta < AB + B\Theta \text{ [Eucl. I, 21]}.$$

communis addatur $\Theta Z$; erit igitur

$$AH + H\Theta + \Theta Z < AB + B\Theta + \Theta Z.$$

sed $B\Theta + \Theta Z < B\Gamma + \Gamma Z$; nam rursus in uno latere trianguli $B\Gamma Z$ rectae concurrentes intra positae sunt; itaque multo magis

$$AB + B\Gamma + \Gamma Z > AH + H\Theta + \Theta Z.$$

sed

$$\Gamma\Delta + \Delta Z > \Gamma Z, \text{ et } \Delta E + EZ > \Delta Z \text{ [Eucl. I, 20]};$$

---

**2** καὶ] A, om. B. **7** καὶ] A, om. B. **8—11** non sign. AB. **10** ἔχῃ] *Torellius*, ἐχει A. **12** καὶ] A, om. B. **22** καὶ (pr.)] A, om. B. **26** συνεσταμέναι] scripsi, συνισταμεναι A, consistentes B. ἐλάττους] A, minores que B. **30** συνεσταμέναι] συνεσταλμεναι A, consistentes B.

εἰσίν. ἀλλὰ τῆς ΓΖ μείζονες αἱ ΓΔ, ΔΖ, τῆς δὲ ΔΖ αἱ ΔΕ, ΕΖ· ἔτι πολλῷ ἄρα αἱ ΑΒΓΔΕΖ μείζους εἰσὶ τῶν ΑΗΘΖ.

σαφηνείας δὲ χάριν ὑποκείσθωσαν καὶ ἕτεραι γραμμαὶ ὁμοίως ταῖς προειρημέναις ὡς αἱ ΑΒΓΔΕ, ΑΖΗΘΚΕ. λέγω, ὅτι μείζων ἐστὶν ἡ περιλαμβάνουσα.

νενοήσθωσαν γὰρ ἐκβεβλημέναι αἱ ΑΖ, ΗΘ ἐπὶ τὸ Λ. ἐπεὶ οὖν πάλιν δύο αἱ ΖΛ, ΑΗ μείζους εἰσὶ τῆς ΖΗ, κοιναὶ προσκείσθωσαν αἱ ΑΖ, ΗΘ· αἱ ἄρα ΑΛ, ΛΘ μείζους εἰσὶ τῶν ΑΖ, ΗΖ, ΗΘ. ἀλλ' αἱ ΑΛ, ΛΘ ἐλάττους τῶν ΑΒΘ· πολλῷ ἄρα αἱ ΑΒΘ μείζους τῶν ΑΖΗΘ. κοινὴ προσκείσθω ἡ ΘΚ· μείζους ἄρα αἱ ΑΒΘΚ τῶν ΑΖΗΘΚ. ἀλλ' αἱ ΒΘΚ ἐλάττους τῶν ΒΓΚ· πολλῷ ἄρα μείζους αἱ ΑΒΓΚ τῶν ΑΖΗΘΚ. κοινὴ προσκείσθω ἡ ΚΕ· αἱ ἄρα ΑΒΓΚΕ μείζους τῶν ΑΖΗΘΚΕ. ἀλλ' αἱ ΓΚΕ ἐλάττους τῶν ΓΔΕ· πολλῷ ἄρα αἱ ΑΒΓΔΕ μείζους εἰσὶ τῶν ΑΖΗΘΚΕ.

κἂν περιφέρειαι δὲ ὦσιν ἤτοι αἱ περιλαμβάνουσαι ἢ αἱ περιλαμβανόμεναι ἢ καὶ ἀμφότεραι, τὸ αὐτὸ ἔνεστιν νοεῖν. συνεχῶν γὰρ σημείων ἐπ' αὐτῶν λαμβανομένων καὶ ἐπὶ αὐτὰ ἐπιζευγνυμένων εὐθειῶν ληφθήσονται γραμμαὶ ἐξ εὐθειῶν συγκείμεναι, ἐφ' ὧν ἁρμόσει ἡ προειρημένη ἀπόδειξις, τῶν ἐξ εὐθειῶν συγκειμένων οἷον αὐτῶν γινομένων τῶν προτεθεισῶν διὰ τὸ καὶ πᾶσαν γραμμὴν κατὰ συνέχειαν σημείων τὴν ὕπαρξιν ἔχουσαν νοεῖσθαι.

ὅτι δὲ εἰκότως τὴν ἀνισότητα τῶν γραμμῶν οὐ μόνον τῷ ἐπὶ τὰ αὐτὰ κοίλας εἶναι ἐχαρακτήρισεν, ἀλλὰ προσ-

---

10 *HZ*] A, *zh* B. 14 *ΑΒΓΚ*] BG², *ΑΒΘΚ* A. 16 *ΓΔΕ*] BG², *ΓΛΕ* A. 22 ἁρμόσει] H, e corr. E; *αρμοση* A. 26 *νοεῖσθαι*] G, *νοεισθω* A. 27 ὅτι] AB, cfr. NJS. XI p. 395; *ἔτι Torellius.*

quare multo etiam magis

$$AB + B\Gamma + \Gamma\Delta + \Delta E + EZ > AH + H\Theta + \Theta Z.$$

uerum perspicuitatis causa proponantur etiam aliae lineae eodem modo, quo supra commemoratae, uelut $AB\Gamma\Delta E$, $AZH\Theta KE$. dico, comprehendentem maiorem esse.

nam rectae $AZ$, $H\Theta$ fingantur productae ad $\Lambda$. quoniam igitur rursus $Z\Lambda + \Lambda H > ZH$ [Eucl. I, 20], communes addantur $AZ$, $H\Theta$; itaque $A\Lambda + \Lambda\Theta > AZ + HZ + H\Theta$. sed $A\Lambda + \Lambda\Theta < AB + B\Theta$ [Eucl. I, 21]; itaque multo magis $AB + B\Theta > AZ + ZH + H\Theta$. communis addatur $\Theta K$; itaque

$$AB + B\Theta + \Theta K > AZ + ZH + H\Theta + \Theta K.$$

sed $B\Theta + \Theta K < B\Gamma + \Gamma K$ [Eucl. I, 20]; quare multo magis

$$AB + B\Gamma + \Gamma K > AZ + ZH + H\Theta + \Theta K.$$

communis addatur $KE$; itaque

$$AB + B\Gamma + \Gamma K + KE > AZ + ZH + H\Theta + \Theta K + KE.$$

sed $\Gamma K + KE < \Gamma\Delta + \Delta E$ [Eucl. I, 20];

quare multo magis

$$AB + B\Gamma + \Gamma\Delta + \Delta E > AZ + ZH + H\Theta + \Theta K + KE.$$

etiam si aut comprehendentes aut comprehensae lineae aut etiam utraeque arcus sunt, idem intellegere licet. sumptis enim in iis punctis continuis et ad ea ductis lineis rectis sumentur lineae ex rectis compositae, in quibus demonstratio supra exposita ualebit, ita ut lineae ex rectis compositae ipsae proxime lineae propositae fiant, quia quaeuis linea ex continuis punctis oriri fingatur.




iure autem inaequalitatem linearum non ea re sola definiuit, quod in eandem partem cauae sint, sed adiecit, opor-

ἔθηκεν τὸ καὶ δεῖν περιλαμβάνεσθαι τὴν ἑτέραν ὑπὸ τῆς ἑτέρας· καὶ τῆς τὰ αὐτὰ πέρατα ἐχούσης εὐθείας· τούτου γὰρ μὴ ὄντος οὐδὲ τὸ ἀνίσους εἶναι τὰς γραμμὰς πάντη ἀληθὲς ὑπῆρχεν, ὡς ἔστι κατανοῆσαι ἐκ τῶν ὑποκειμένων καταγραφῶν. ἡ γὰρ $AB\Gamma\Delta$ γραμμὴ καὶ ἡ $AEZ\Delta$ τὰ αὐτὰ πέρατα ἔχουσαι καὶ ἐπὶ τὰ αὐτὰ κοῖλαί εἰσι, καὶ ἄδηλον, ὁποτέρα αὐτῶν μείζων ἐστίν· δυνατὸν γὰρ καὶ ἴσας εἶναι. δυνατὸν δὲ καὶ ἐπὶ τὰ αὐτὰ κοίλην ἑκατέραν νοεῖν καὶ τὰ αὐτὰ πέρατα ἐχούσας ἀμφοτέρας, κατ' ἐναντίαν δὲ θέσιν ἀλλήλαις κειμένας, ὡς ὁποτέρα τῶν εἰρημένων τῇ $A\Theta K\Delta$· καὶ οὕτως γὰρ ἄδηλος ἥ τε ἰσότης καὶ ἀνισότης αὐτῶν. διὸ καλῶς πρόσκειται τὸ δεῖν ἢ ὅλην τὴν ἑτέραν ὑπὸ τῆς ἑτέρας περιλαμβάνεσθαι καὶ τῆς τὰ αὐτὰ πέρατα ἐχούσης εὐθείας, ἢ τινὰ μὲν περιλαμβάνεσθαι, τινὰ δὲ καὶ κοινὰ ἔχειν, ὡς ἐπὶ τῶν $A\Theta K\Delta$ καὶ $A\Lambda MN\Xi\Delta$· ἐπὶ γὰρ τούτων τινὰ μὲν περιλαμβάνεται, τινὰ δὲ κοινά ἐστιν, ὡς τὰ $A\Delta$, $MN$.

δεόντως δὲ πάνυ κἀκεῖνο πρὸς κρίσιν τῆς ἀνισότητος παρελήφθη τὸ δεῖν τὰ αὐτὰ πέρατα ἔχειν τὰς γραμμάς· τούτου γὰρ μὴ ὄντος οὐδ', ἂν περιλαμβάνοιντο ὑπὸ ἀλλήλων, πάντως ἄνισοί εἰσιν, ἀλλ' ἐνίοτε ἴσαι, ἢ καὶ ἡ περιλαμβανομένη μείζων. ὅπερ ἵνα σαφὲς γένηται, νενοήσθωσαν ἐν ἐπιπέδῳ δύο εὐθεῖαι αἱ $AB\Gamma$ ἀμβλεῖαν τὴν πρὸς τῷ $B$ γωνίαν περιέχουσαι, καὶ εἰλήφθω ἐπὶ τῆς $B\Gamma$ τυχὸν σημεῖον τὸ $\Delta$, καὶ ἐπεζεύχθωσαν αἱ $A\Delta$, $A\Gamma$. ἐπεὶ οὖν μείζων ἐστὶν ἡ $A\Delta$ τῆς $AB$, κείσθω τῇ $AB$ ἴση ἡ $\Delta E$, καὶ τετμήσθω ἡ $AE$ δίχα κατὰ τὸ $Z$, καὶ ἐπεζεύχθω ἡ $Z\Gamma$. ἐπεὶ οὖν δύο αἱ $AZ\Gamma$ τῆς $A\Gamma$ μείζους εἰσίν, ἴση δὲ ἡ $AZ$ τῇ $ZE$, καὶ αἱ $EZ\Gamma$ ἄρα τῆς $A\Gamma$ μείζους εἰσίν. κοιναὶ προσκείσθωσαν αἱ $AB$, $\Delta E$· αἱ ἄρα $\Delta Z\Gamma$ τῶν $BA\Gamma$ μείζους εἰσίν. ὥστε μιᾶς

tere alteram comprehendi altera rectaque eosdem terminos habenti; nam si hoc non est, ne hoc quidem uerum erat, lineas utique inaequales esse, ut ex figuris propositis intellegi potest. lineae enim $AB\Gamma\Delta$, $AEZ\Delta$ et eosdem terminos habent et in eandem partem cauae sunt, nec adparet, utra maior sit; nam fieri potest, ut etiam aequales sint. hoc quoque fieri potest, ut utraque fingatur in eandem partem caua et eosdem terminos habens, sed in diuersa inter se positae, ut utraque earum, quas commemorauimus, et linea $AH\Theta K\Delta$; nam sic quoque obscura est earum aequalitas uel inaequalitas. quare bene adiectum est, oportere alterum totam ab altera rectaque eosdem terminos habenti comprehendi, uel partem comprehendi, partem communem esse, ut in lineis $AH\Theta K\Delta$, $A\Delta MN\Xi\Delta$; in his enim pars comprehenditur, pars communis est, ut $A\Delta$, $MN$.




hoc quoque ad probandam inaequalitatem prorsus necessario adsumptum est, oportere lineas eosdem terminos habere; nam si hoc non est, ne tum quidem, si inter se comprehenduntur, utique inaequales sunt, sed interdum aequales, uel etiam comprehensa maior. quod ut adpareat, fingantur in plano duae rectae $AB$, $B\Gamma$ obtusum comprehendentes angulum ad $B$ positum, in $B\Gamma$ autem sumatur quoduis punctum $\Delta$, et ducantur $A\Delta$, $A\Gamma$. iam quoniam $A\Delta > AB$ [Eucl. I, 19], ponatur $\Delta E = AB$, et $AE$ in duas partes aequales diuidatur in Z, ducaturque $Z\Gamma$. quoniam igitur

$$AZ + Z\Gamma > A\Gamma \text{ [Eucl. I, 20]},$$

et $AZ = ZE$, erit etiam $EZ + Z\Gamma > A\Gamma$. communes ad-

---

**4** ὡς] GH, ος A, quod B. **10** *κειμένας*] BG², *κειμεναις* A. **12** *πρόσκειται*] appositum est B, *προκειται* A. **16** *ἐπί*] mg. G, in B, *επει* A. **20** *περιλαμβάνοιντο*] de optatiuo cfr. comment. in Apollon. II p. 268, 6. **21** *πάντως*] obscuro comp. A, nequaquam B. **23** $AB\Gamma$] *ab bg* B, $AB$ A. **24** *τῷ*] G, *το* A. **31** $\Delta E$] *ed* B, $\Gamma$ A. $\Delta Z\Gamma$] corr. ex *bag* B, $BZ\Gamma$ A. $BA\Gamma$] B, $BAZ$ A.

γραμμῆς νοουμένης τῆς $BA\Gamma$ ἐπὶ τὰ αὐτὰ κοίλης, ἑτέρας δὲ τῆς $\Delta Z\Gamma$ περιλαμβανομένης ὑπὸ τῆς ἑτέρας, μὴ ἐχούσης δὲ τὰ αὐτὰ πέρατα, οὐ μόνον ὅτι οὐ μείζων ἡ περιλαμβάνουσα, ἀλλὰ καὶ ἐλάττων ἐδείχθη.

καὶ ἐπὶ γραμμῶν δὲ ἐκ πλειόνων εὐθειῶν συγκειμένων τὸ αὐτὸ τοῦτο ἔστι θεωρῆσαι. νενοήσθωσαν γὰρ ἐν ἐπιπέδῳ δύο εὐθεῖαι αἱ $AB\Gamma$ καὶ τυχὸν σημεῖον τὸ $\Delta$ καὶ ἐπεζευγμένη ἡ $A\Delta$. πάλιν δὴ κείσθω τῇ $AB$ ἴση ἡ $\Delta E$, καὶ ἡ $EA$ δίχα τετμήσθω τῷ $Z$, καὶ τῇ $A\Delta$ πρὸς ὀρθὰς ἤχθω ἡ $AH$, καὶ ἐπεζεύχθω ἡ $ZH$· καὶ κείσθω τῇ $AH$ ἴση ἡ $Z\Theta$, καὶ πάλιν δίχα τετμήσθω ἡ $\Theta H$ κατὰ τὸ $K$, καὶ πρὸς ὀρθὰς τῇ $ZH$ ἤχθω ἡ $HA$, καὶ ἐπεζεύχθω ἡ $K\Lambda$· καὶ πάλιν τῇ $HA$ ἴση ἡ $KM$, καὶ δίχα τετμήσθω ἡ $M\Lambda$ τῷ $N$, καὶ πάλιν πρὸς ὀρθὰς τῇ $K\Lambda$ ἤχθω ἡ $\Lambda\Gamma$, καὶ ἐπεζεύχθω ἡ $N\Gamma$. φανερὸν οὖν διὰ τὰ προδεδειγμένα, ὅτι μείζων ἡ μὲν $\Delta Z$ τῆς $AB$, ἡ δὲ $ZK$ τῆς $AH$, ἡ δὲ $KN$ τῆς $HA$, ἡ δὲ $N\Gamma$ τῆς $\Lambda\Gamma$· ὥστε καὶ ὅλη ἡ γραμμὴ ἡ $\Delta ZKN\Gamma$ μείζων τῆς $BAHA\Gamma$.




καλῶς ἄρα προσετέθη τὸ τὰ αὐτὰ πέρατα ἔχειν ἐπὶ τῶν ἀνίσων.

τὰ αὐτὰ δὲ δυνατὸν ἐπινοοῦντα δεικνύειν καὶ ἐπὶ τῶν ἐπιφανειῶν ἀνὰ πᾶσι τοῖς προειρημένοις, ὅταν αἱ λαμβανόμεναι ἐπιφάνειαι τὰ πέρατα ἔχωσιν ἐν ἐπιπέδοις.

dantur $AB$, $\Delta E$; itaque $\Delta Z + ZГ > BA + AГ$. si igitur linea $BAГ$ una linea in eandem partem caua esse fingitur eodemque modo $\Delta ZГ$, quae ab illa altera comprehenditur neque eosdem habet terminos, demonstratum est, lineam comprehendentem non modo non maiorem esse, sed etiam minorem.




etiam in lineis ex compluribus rectis compositis hoc idem intellegere licet. fingantur enim in plano duae rectae $AB$, $BГ$ et quoduis punctum $\Delta$ ductaque recta $A\Delta$. rursus igitur ponatur $\Delta E = AB$, et $EA$ in duas partes aequales diuidatur in Z, ducaturque $AH$ ad $A\Delta$ perpendicularis, et ducatur $ZH$; et ponatur $Z\Theta = AH$, et rursus in aequales partes diuidatur $\Theta H$ in $K$, ducaturque $H\Lambda$ ad $ZH$ perpendicularis, et ducatur $K\Lambda$; et rursus ponatur $KM = H\Lambda$, et in partes aequales diuidatur $M\Lambda$ in $N$, rursusque ad $K\Lambda$ perpendicularis ducatur $\Lambda\Xi$, et ducatur $N\Gamma$. manifestum igitur propter ea, quae supra demonstrauimus,[1]) esse

$$\Delta Z > AB,\ ZK > AH,\ KN > H\Lambda,\ N\Gamma > \Lambda\Gamma;$$

quare etiam tota linea $\Delta ZKN\Gamma > BAH\Lambda\Gamma$.

recte igitur in lineis inaequalibus adposuit, oportere eas eosdem terminos habere.

etiam in superficiebus licet, si animum aduerteris, eadem omnia demonstare, quae diximus, si superficies sumptae terminos in plano habent.

---

1) Dicendum erat non ex antea demonstratis, sed ex hypothesi ($\Delta E = AB$ cett.).

---

17 *πάλιν*] *πάλιν κείσθω Torellius.* 24 *KN*] BG$^2$, *KH* A. 25 *BAHΛΓ*] e corr. B (*bα-* in ras.), *ABHΛΓ* A. 29 *ἀνὰ*] cfr. Hultsch, Heronis rell. p. XIV. 30 *ἔχωσιν*] E, *εχουσιν* A.

*Εἰς τὸ β΄ θεώρημα.*

*Τὸ δὴ ΑΓ ἑαυτῷ ἐπισυντιθέμενον ὑπερέξει τοῦ Δ] δηλαδὴ ὡς τοῦ ΑΒ ἤτοι ἐπιμορίου ἢ καὶ ἐπιμεροῦς τυγχάνοντος τοῦ Δ. εἰ δὲ εἴη τὸ ΑΒ τοῦ Δ ἤτοι πολλαπλάσιον ἢ πολλαπλασιεπιμόριον ἢ καὶ πολλαπλασιεπιμερές, ἀφαιρεθέντος ἀπὸ τοῦ ΑΒ ἴσου τῷ Δ τοῦ ΒΓ τὸ λοιπὸν τὸ ΓΑ ὑπερέξει τοῦ Δ, ὥστε μηκέτι πολλαπλασιάζεσθαι αὐτό, ἀλλ᾽ αὐτόθεν δεῖν τῷ ΑΓ ἴσον ἀποτίθεσθαι τὸ ΑΘ, καὶ τὴν αὐτὴν ἀπόδειξιν ἀρμόζειν.*

*καὶ συνθέντι τὸ ΖΕ πρὸς ΖΗ ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ ΑΒ πρὸς ΒΓ] ὅτι γάρ, ἐὰν πρῶτον πρὸς δεύτερον ἐλάσσονα λόγον ἔχῃ ἤπερ τρίτον πρὸς τέταρτον, καὶ συνθέντι ὁ αὐτὸς λόγος ἀκολουθεῖ, δειχθήσεται οὕτως.*

*ἔστωσαν τέσσαρα μεγέθη τὰ ΑΒ, ΒΓ, ΔΕ, ΕΖ, τὸ δὲ ΑΒ πρὸς τὸ ΒΓ μείζονα λόγον ἐχέτω ἤπερ τὸ ΔΕ πρὸς τὸ ΕΖ. λέγω, ὅτι καὶ συνθέντι τὸ ΑΓ πρὸς τὸ ΓΒ μείζονα λόγον ἔχει ἤπερ τὸ ΔΖ πρὸς τὸ ΖΕ.*




*γεγονέτω γάρ, ὡς τὸ ΓΒ πρὸς τὸ ΒΑ, οὕτως τὸ ΖΕ πρὸς τὸ ΖΘ· ἀνάπαλιν ἄρα, ὡς τὸ ΑΒ πρὸς τὸ ΒΓ, οὕτως τὸ ΘΖ πρὸς τὸ ΖΕ. μείζονα δὲ λόγον ἔχει τὸ ΑΒ πρὸς τὸ ΒΓ ἤπερ τὸ ΔΕ πρὸς ΕΖ· καὶ τὸ ΘΖ ἄρα πρὸς ΖΕ μείζονα λόγον ἔχει ἤπερ τὸ ΔΕ πρὸς ΕΖ. μεῖζον ἄρα ἐστὶ τὸ ΖΘ τοῦ ΕΔ καὶ ὅλον τὸ ΘΕ τοῦ ΔΖ, καὶ διὰ τοῦτο τὸ ΘΕ πρὸς ΕΖ μείζονα λόγον ἔχει ἤπερ τὸ ΔΖ πρὸς ΖΕ. ἀλλ᾽, ὡς τὸ ΘΕ πρὸς ΕΖ, τὸ ΑΓ πρὸς ΓΒ διὰ τὸ συνθέντι· καὶ τὸ ΑΓ ἄρα πρὸς ΓΒ μείζονα λόγον ἔχει ἤπερ τὸ ΔΖ πρὸς ΕΖ.*

Ad prop. II.

P. 12, 5: itaque $A\Gamma$ magnitudo ipsa sibi addita $\Delta$ magnitudinem excedet] scilicet si $AB$ aut superparticularis aut superpartiens est magnitudinis $\Delta$. sin $AB$ aut multiplex est aut multiplex superparticularis aut etiam multiplex superpartiens magnitudinis $\Delta$, ablata ab $AB$ magnitudine $B\Gamma$ aequali magnitudini $\Delta$ reliqua $\Gamma A$ excedet magnitudinem $\Delta$, ita ut non iam oporteat multiplicari, sed $A\Theta$ aequalem magnitudini $A\Gamma$ statim ponere; tum eadem demonstratio ualebit.

P. 12, 15—16: et componendo $ZE : ZH < AB : B\Gamma$] nam, si primum ad secundum minorem rationem habeat quam tertium ad quartum, tum etiam componendo eandem rationem sequi, ita demonstrabitur.[1])

sint quattuor magnitudines $AB$, $B\Gamma$, $\Delta E$, $EZ$, et sit $AB : B\Gamma > \Delta E : EZ$. dico, etiam componendo esse

$$A\Gamma : \Gamma B > \Delta Z : ZE.$$

fiat enim $\Gamma B : BA = ZE : Z\Theta$; e contrario igitur

$$AB : B\Gamma = \Theta Z : ZE.$$

sed $$AB : B\Gamma > \Delta E : EZ;$$

quare etiam $\Theta Z : ZE > \Delta E : EZ$. itaque $Z\Theta > E\Delta$ [Eucl. V, 10] et $\Theta E > \Delta Z$, et ea de causa

$$\Theta E : EZ > \Delta Z : ZE \text{ [Eucl. V, 8]}.$$

componendo autem $\Theta E : EZ = A\Gamma : \Gamma B$; itaque etiam

$$A\Gamma : \Gamma B > \Delta Z : EZ.$$

1) Idem demonstrat Pappus II p. 684, 20; adcommodatius etiam ad uerba Archimedis idem II p. 686, 5; u. infra p. 19 not. 2.

2 $\delta\dot{\eta}$] I p. 12, 5; $\delta\varepsilon$ AB. 5 $\pi o\lambda\lambda\alpha\pi\lambda\alpha\sigma\iota\varepsilon\pi\iota\mu\varepsilon\rho\acute{\varepsilon}\varsigma$] H, $\pi o\lambda\lambda\alpha\pi\lambda\alpha\sigma\grave{\iota}$ $\varepsilon\pi\iota\mu\varepsilon\rho\varepsilon\varsigma$ A. 6 $\tau\tilde{\omega}$] G, $\tau o$ A. 11 signum $^{\varsigma}$ in med. lin. A. $ZE$] $ZH$ AB, $e\zeta$ supra scr. B; cfr. I p. 12, 15. $ZH$] e corr. B, $ZE$ AB. 23 $\Theta Z$] B, $\Theta A$ A. 25 $\Theta Z$] $G^2$, $EZ$ AB. $ZE$] $G^2$, $Z\Theta$ AB. 31 $EZ$] A, $ze$ B.

ἀλλὰ δὴ τὸ $A\Gamma$ πρὸς $\Gamma B$ μείζονα λόγον ἐχέτω ἥπερ τὸ $\Delta Z$ πρὸς $ZE$. λέγω, ὅτι καὶ διελόντι τὸ $AB$ πρὸς $B\Gamma$ μείζονα λόγον ἕξει ἥπερ τὸ $\Delta E$ πρὸς $EZ$.

πάλιν γὰρ ὁμοίως, ἐὰν ποιήσωμεν, ὡς τὸ $B\Gamma$ πρὸς $\Gamma A$, οὕτως τὸ $ZE$ πρὸς $E\Theta$, ἔσται τὸ $\Theta E$ μεῖζον τοῦ $\Delta Z$. καὶ κοινοῦ ἀφαιρουμένου τοῦ $EZ$ ἔσται μεῖζον τὸ $\Theta Z$ τοῦ $\Delta E$, καὶ διὰ τοῦτο τὸ $\Theta Z$ πρὸς $ZE$, τουτέστι τὸ $AB$ πρὸς $B\Gamma$ διὰ τὸ διελόντι, μείζονα λόγον ἕξει ἥπερ τὸ $\Delta E$ πρὸς $EZ$.

φανερὸν δὲ διὰ τῶν ὁμοίων, ὅτι, κἂν τὸ $AB$ πρὸς τὸ $B\Gamma$ ἐλάσσονα λόγον ἔχῃ ἥπερ τὸ $\Delta E$ πρὸς $EZ$, καὶ συνθέντι καὶ πάλιν διελόντι ὁ αὐτὸς λόγος ἔσται.

ἐκ δὲ τῶν αὐτῶν καὶ ὁ τοῦ ἀναστρέψαντι λόγος ἐμφανής ἐστιν. ἐχέτω γὰρ τὸ $A\Gamma$ πρὸς $B\Gamma$ μείζονα λόγον ἥπερ τὸ $\Delta Z$ πρὸς $ZE$. λέγω, ὅτι καὶ ἀναστρέψαντι τὸ $\Gamma A$ πρὸς $AB$ ἐλάσσονα λόγον ἕξει ἥπερ τὸ $Z\Delta$ πρὸς $\Delta E$.

ἐπεὶ γὰρ τὸ $A\Gamma$ πρὸς $\Gamma B$ μείζονα λόγον ἔχει ἥπερ τὸ $\Delta Z$ πρὸς $ZE$, καὶ διελόντι τὸ $AB$ πρὸς $B\Gamma$ μείζονα λόγον ἔχει ἥπερ τὸ $\Delta E$ πρὸς $EZ$, ἀνάπαλιν τὸ $B\Gamma$ πρὸς $BA$ ἐλάσσονα λόγον ἕξει ἥπερ τὸ $ZE$ πρὸς $E\Delta$, καὶ συνθέντι τὸ $\Gamma A$ πρὸς $AB$ ἐλάσσονα λόγον ἕξει ἥπερ τὸ $\Delta Z$ πρὸς $\Delta E$.

## Εἰς τὸ γ'.

Καὶ ἀπὸ τοῦ $K$ τῇ $\Theta$ ἴση κατήχθω ἡ $KM$] δυνατὸν γὰρ τοῦτο προσεκβληθείσης τῆς $K\Lambda$ ὡς ἐπὶ τὸ $X$ καὶ τεθείσης τῇ $\Theta$ ἴσης τῆς $KX$ καὶ κέντρῳ τῷ $K$, διαστήματι δὲ τῷ $KX$, κύκλου γραφέντος ὡς τοῦ $XMN$· ἔσται γὰρ ἡ $KM$ ἴση τῇ $KX$, τουτέστι τῇ $\Theta$.

Ἡ ἄρα $N\Gamma$ πολυγώνου ἐστὶ ἰσοπλεύρου καὶ ἀρτιοπλεύρου πλευρά] τῆς γὰρ μιᾶς ὀρθῆς ἐπὶ τεταρ-

iam sit $A\Gamma : \Gamma B > \Delta Z : ZE$. dico, etiam dirimendo esse $AB : B\Gamma > \Delta E : EZ$.[1])

nam rursus eodem modo, si fecerimus $B\Gamma : \Gamma A = ZE : E\Theta$, erit $\Theta E > \Delta Z$. et ablata, quae communis est, magnitudine $EZ$ erit $\Theta Z > \Delta E$, eaque de causa $\Theta Z : ZE > \Delta E : EZ$, hoc est dirimendo $AB : B\Gamma > \Delta E : EZ$.

et simili ratione manifestum est, etiam si sit

$$AB : B\Gamma < \Delta E : EZ,$$

et componendo et rursus dirimendo eandem rationem seruatum iri.[2])

eodem modo etiam ratio, quae fit conuertendo, manifesta erit.[3]) sit enim $A\Gamma : B\Gamma > \Delta Z : ZE$. dico, etiam conuertendo esse $\Gamma A : AB < Z\Delta : \Delta E$.

nam quoniam est $A\Gamma : \Gamma B > \Delta Z : ZE$, et dirimendo [lin. 2 sq.] $AB : B\Gamma > \Delta E : EZ$, etiam e contrario est

$$B\Gamma : BA < ZE : E\Delta,$$[4])

et componendo [p. 16, 14 sq.] $\Gamma A : AB < \Delta Z : \Delta E$.

## Ad prop. III.

P. 14, 7—8: et a $K$ puncto ducatur $KM$ rectae $\Theta$ aequalis] hoc enim fieri potest producta linea $K\Delta$ ad $X$ et posita $KX = \Theta$ et descripto circulo $XMN$ centro $K$ radioque $KX$; erit enim

$$KM = KX = \Theta.$$




P. 14, 14—15: recta $N\Gamma$ igitur latus est polygoni

1) Cfr. Pappus II p. 690, 9.

2) Hoc ipso utitur Archimedes; habet Pappus II p. 686, 5; cfr. p. 17 not. 1.

3) Pappus II p. 686, 28.

4) Pappus II p. 688, 11; sed ab Eutocio demonstratum non est.

1 $\Gamma B$] BG$^2$, $\Gamma\Delta$ A. 11 ἔχῃ] *Torellius*, ἐχει A. 19 $EZ$] A, *ez* et B. $B\Gamma$] A, *gb* B. 26 τῇ] *Torellius*, της AB. τῆς] *Torellius*, τῃ AB. 27 τῷ] G, το A. 29—30 καὶ ἀρτιοπλεύρου] AB, del. *Nizze* coll. I p. 14, 15.

τημορίου βεβηκυίας καὶ τῆς τομῆς κατὰ ἀρτίαν διαίρεσιν ἀπὸ τῆς ὀρθῆς γινομένης δῆλον, ὅτι καὶ ἡ τοῦ τεταρτημορίου περιφέρεια εἰς ἀρτιακισαρτίους τὸν ἀριθμὸν ἴσας διαιρεθήσεται περιφερείας· ὥστε καὶ ἡ ὑποτείνουσα εὐθεῖα μίαν τῶν περιφερειῶν πολυγώνου ἐστὶν ἰσοπλεύρου καὶ ἀρτιοπλεύρου πλευρά.

Ὥστε καὶ ἡ ΟΠ πολυγώνου ἐστὶν ἰσοπλεύρου πλευρά] ἐὰν γὰρ τῇ ὑπὸ ΞΗΝ γωνίᾳ ἴσην ποιήσαντες τὴν ὑπὸ ΠΗΔ ἀπὸ τοῦ Π ἐπὶ τὸ Δ ἐπιζεύξωμεν καὶ προσεκβάλωμεν ἄχρι τῆς ΗΘ τῆς μετὰ ΗΔ γωνίαν περιεχούσης ἴσην τῇ ὑπὸ ΠΗΔ, ἔσται ἴση ἡ ΠΘ τῇ ΠΟ καὶ ἐφαπτομένη τοῦ κύκλου. ἐπεὶ γὰρ ἡ ΞΗ ἴση ἐστὶ τῇ ΗΔ, κοινὴ δὲ ἡ ΗΠ, καὶ γωνίας ἴσας περιέχουσιν, καὶ βάσις ἄρα ἡ ΞΠ τῇ ΠΔ ἴση ἐστὶ καὶ ἡ ὑπὸ ΠΞΗ ὀρθὴ οὖσα τῇ ὑπὸ ΠΔΗ· ὥστε ἐφάπτεται ἡ ΔΠ. ἐπεὶ οὖν αἱ πρὸς τῷ Δ ὀρθαί εἰσιν, εἰσὶν δὲ καὶ αἱ ὑπὸ ΠΗΔ, ΔΗΘ ἴσαι, καὶ ἡ πρὸς ταῖς ἴσαις κοινὴ ἡ ΔΗ, ἴση ἐστὶ καὶ ἡ ΠΔ τῇ ΘΔ. ἀλλ' ἡ ΞΠ τῇ ΠΔ ἐδείχθη ἴση· καὶ ἡ ΘΠ ἄρα τῇ ΠΟ ἐστιν ἴση καὶ πάσαις ταῖς ὁμοίως ἐφαπτομέναις. ὥστε ἡ ΘΠ πολυγώνου ἐστὶν ἰσοπλεύρου καὶ ἀρτιοπλεύρου πλευρὰ τοῦ περὶ τὸν κύκλον περιγραφομένου.

ὅτι δὲ καὶ ὁμοίου τῷ ἐγγραφομένῳ, αὐτόθεν δῆλον. ἴσης γὰρ οὔσης τῆς μὲν ΟΗ τῇ ΗΠ, τῆς δὲ ΓΗ τῇ ΗΝ, παράλληλος ἄρα ἐστὶν ἡ ΟΠ τῇ ΓΝ· διὰ τὰ αὐτὰ

---

**2** καί] A, om. B. τεταρτημορίου] EG, τεταρτιμοριου A. **3** ἴσας] A, om. B. **9** ἐπιζεύξωμεν] $G^2$, επιζευξομεν A. **10** τῆς μετὰ — **11** περιεχούσης] suppl. *Torellius*, ad sententiam recte; om. A et addito λ B. **16** τῷ] G, το A. **19** ΘΠ] A, *op* B. ΠΟ] *Basil.*, ΠΘ AB. **23** καί] A, om. B. **24** ΟΠ] $G^2$, e corr. B; ΘΗ AB. ΗΠ] A, *ph* B. **25** ἄρα] *Torellius*, γαρ comp. A, ras. B.

aequilateri, cuius latera paria sunt numero] nam cum rectus angulus in quarta parte circuli positus sit, et sectio ex recto angulo secundum diuisionem parem fiat, adparet, etiam arcum quartae partis in arcus numero pariter pares diuisum iri; quare etiam recta sub uno arcu subtendens latus est polygoni aequilateri, cuius latera paria sunt numero.

P. 14, 22—24: itaque etiam $O\Pi$ latus est polygoni aequilateri] nam si fecerimus $\angle \Pi H \Delta = \angle \Xi H N$ et a $\Pi$ ad $\Delta$ rectam duxerimus eamque produxerimus usque ad $H\Theta$, quae cum $H\Delta$ angulum angulo $\Pi H \Delta$ aequalem comprehendit, erit $\Pi\Theta = \Pi O$ et circulum continget. nam quoniam $\Xi H = H\Delta$, et $H\Pi$ communis, et angulos aequales comprehendunt, erit etiam basis $\Xi\Pi = \Pi\Delta$ [Eucl. I, 4], et angulus $\Pi\Xi H$ rectus $= \angle \Pi\Delta H$; quare $\Delta\Pi$ circulum contingit [Eucl. III, 16 coroll.]. quoniam igitur anguli ad $\Delta$ positi recti sunt, et $\Pi H\Delta$, $\Delta H\Theta$ aequales, et latus $\Delta H$ ad angulos aequales positum commune, erit etiam

$$\Pi\Delta = \Theta\Delta$$

[Eucl. I, 26]. sed demonstratum est, esse

$$\Xi\Pi = \Pi\Delta;$$

quare etiam $\Theta\Pi$ rectae $\Pi O$[1]) et omnibus rectis eodem modo contingentibus aequalis est. ergo $\Theta\Pi$ latus est polygoni aequilateri, cuius latera paria sunt numero, circum circulum circumscripti.




hinc statim adparet, polygoni etiam inscripto similis latus esse. nam cum $OH = H\Pi$ et $\Gamma H = HN$, $O\Pi$ rectae $\Gamma N$ parallela est [Eucl. VI, 2]; eadem de causa etiam $\Pi\Theta$ rectae

1) Nam $\Xi O = \Xi\Pi = \Pi\Delta$.

καὶ ἡ ΠΘ τῇ ΝΚ· ὥστε καὶ ἡ ὑπὸ ΓΝΚ τῇ ὑπὸ ΟΠΘ ἴση ἐστί. καὶ διὰ τοῦτο ὅμοιόν ἐστι τὸ περιγεγραμμένον τῷ ἐγγεγραμμένῳ.

Ἡ ἄρα ΜΚ πρὸς ΚΛ μείζονα λόγον ἔχει ἤπερ ἡ ΓΗ πρὸς ΗΤ] μείζονος γὰρ οὔσης τῆς πρὸς τῷ Κ γωνίας τῆς ὑπὸ ΓΗΤ, ἐὰν τῇ ὑπὸ ΓΗΤ ἴσην συστησώμεθα τὴν ὑπὸ ΛΚΡ τοῦ Ρ μεταξὺ τῶν Λ, Μ νοουμένου, τὸ ΛΚΡ τρίγωνον τῷ ΓΗΤ ὅμοιόν ἐστιν, καί ἐστιν, ὡς ἡ ΡΚ πρὸς ΚΛ, οὕτως ἡ ΓΗ πρὸς ΗΤ· ὥστε καὶ ἡ ΜΚ πρὸς ΚΛ μείζονα λόγον ἔχει ἤπερ ἡ ΓΗ πρὸς ΗΤ.

## Εἰς τὸ ϛ΄.

Διὰ δὴ τοῦτο ἐλασσόν ἐστι τὸ περιγραφόμενον τοῦ συναμφοτέρου] ἐπεὶ γὰρ τὸ περιγραφόμενον πρὸς τὸ ἐγγραφόμενον ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ συναμφότερον πρὸς τὸν κύκλον, πολλῷ ἄρα τὸ περιγραφόμενον πρὸς τὸν κύκλον ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ συναμφότερον πρὸς τὸν κύκλον· ὥστε τὸ περιγραφόμενον ἐλασσόν ἐστι τοῦ συναμφοτέρου.

καὶ κοινοῦ ἀφαιρουμένου τοῦ κύκλου λοιπὰ τὰ περιλείμματα ἐλάσσονά ἐστι τοῦ Β χωρίου.

## Εἰς τὸ η΄.

Αἱ ἄρα ἀπὸ τῆς κορυφῆς ἐπὶ τὰ Α, Β, Γ ἐπιζευγνύμεναι κάθετοί εἰσιν ἐπ' αὐτάς] νενοήσθω γὰρ χωρὶς ὁ κῶνος, καὶ ἔστω κορυφὴ μὲν αὐτοῦ τὸ Η, κέντρον δὲ τῆς βάσεως αὐτοῦ τὸ Θ, καὶ ἀπὸ τοῦ Θ ἐπὶ τὸ Α ἐπεζεύχθω ἡ ΘΑ, ἀπὸ δὲ τοῦ Η ἡ ΗΑ. λέγω, ὅτι ἡ ΗΑ κάθετός ἐστιν ἐπὶ τὴν ΔΕ.

ἐπεὶ γὰρ ἡ ΗΘ κάθετός ἐστιν πρὸς τὸ τοῦ κύκλου ἐπίπεδον, καὶ πάντα τὰ δι' αὐτῆς ἐπίπεδα· ὥστε καὶ τὸ

$NK$ parallela est; quare etiam $\angle \Gamma NK = O\Pi\Theta$. ergo polygonum circumscriptum inscripto simile est.

P. 16, 1—2: itaque $MK : K\Lambda > \Gamma H : HT$] nam cum angulus ad $K$ positus maior sit angulo $\Gamma HT$, si construimus $\angle \Lambda KP = \Gamma HT$, ita ut $P$ inter $\Lambda$, $M$ positum fingatur, est $\Lambda KP \sim \Gamma HT$, et est [Eucl. VI, 4]

$$\Gamma H : HT = PK : K\Lambda;$$

quare etiam $MK : K\Lambda > \Gamma H : HT$.[1])

## Ad prop. VI.

P. 22, 24—25: itaque polygonum circumscriptum minus est utroque simul] nam quoniam polygonum circumscriptum ad inscriptum minorem rationem habet quam utrumque simul ad circulum, multo magis polygonum circumscriptum ad circulum minorem rationem habet quam utrumque simul ad circulum;[2]) quare polygonum circumscriptum minus est utroque simul [Eucl. V, 10].

et ablato circulo, qui communis est, spatia reliqua minora sunt spatio $B$.

## Ad prop. VIII.

P. 26, 27—28, 2: itaque rectae a uertice ad $A, B, \Gamma$ ductae perpendiculares ad eas sunt] fingatur enim conus seorsum descriptus, et uertex eius sit $H$, centrum autem basis $\Theta$, et a $\Theta$ ad $A$ ducatur $\Theta A$, ab $H$ autem $HA$. dico, $HA$ ad $\Delta E$ perpendicularem esse.

nam quoniam $H\Theta$ ad planum circuli perpendicularis est, etiam omnia plana per eam posita perpendicularia sunt [Eucl.

1) Nam $MK > PK$.
2) Nam circulus maior est polygono inscripto.

3 $K$] BG, $K\Gamma$ A. **29** $\pi\varrho\grave{o}\varsigma$] comp. A, ad B; scribi debui. $\grave{\epsilon}\pi\grave{\iota}$ (Philol. Samf. Mindeskrift, Haun. 1879, p. 19). **30** $\delta\iota'$ $\alpha\grave{\upsilon}$ $\tau\tilde{\eta}\varsigma$] A, per ipsam *ht* B.

*ΗΘΑ τρίγωνον ὀρθόν ἐστι πρὸς τὴν βάσιν. καὶ τῇ κοινῇ τομῇ τῶν ἐπιπέδων τῇ ΘΑ πρὸς ὀρθὰς ἦκται ἐν ἑνὶ τῶν ἐπιπέδων ἡ ΔΕ· ἡ ἄρα ΔΕ τῷ ΗΘΑ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν· ὥστε καὶ πρὸς τὴν ΗΑ. ὁμοίως δὲ δειχθήσονται καὶ αἱ ἐπὶ τὰ Γ, Β ἐπιζευγνύμεναι ἀπὸ τῆς κορυφῆς κάθετοι οὖσαι ἐπὶ τὰς ΔΖ, ΕΖ.*




*ἐπιστῆσαι δὲ χρή, ὅτι ἐπὶ μὲν τοῦ πρὸ τούτου καλῶς προσέκειτο τὸ δεῖν πάντως τὴν ἐγγραφομένην πυραμίδα ἰσόπλευρον ἔχειν τὴν βάσιν· οὐκ ἄλλως γὰρ αἱ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὰς τῆς βάσεως πλευρὰς ἴσαι ἠδύναντο εἶναι· ἐπὶ δὲ τοῦ προκειμένου οὐ προσέθηκεν τὸ εἶναι ἰσόπλευρον τὴν βάσιν διὰ τὸ δύνασθαι, κἂν ὁποία τις ᾖ, τὸ αὐτὸ ἀκολουθεῖν.*

## *Εἰς τὸ ϑ′.*

*Μείζονα ἄρα ἐστὶν τὰ ΑΒΔ, ΒΔΓ τρίγωνα τοῦ ΑΔΓ τριγώνου] ἐπεὶ γὰρ στερεὰ γωνία ἐστὶν ἡ πρὸς τῷ Δ, αἱ ὑπὸ ΑΔΒ, ΒΔΓ μείζους εἰσὶν τῆς ὑπὸ ΑΔΓ, καί, ἐὰν ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν διχοτομίαν τῆς βάσεως ἐπιζεύξωμεν ὡς τὴν ΔΕ κάθετον γινομένην ἐπὶ τὴν ΑΓ, ἔσται ἡ ὑπὸ ΑΔΒ μείζων τῆς ὑπὸ ΑΔΕ. συνεστάτω οὖν τῇ ὑπὸ ΑΔΒ ἴση ἡ ὑπὸ ΑΔΖ, καὶ τεθείσης τῆς ΔΖ ἴσης τῇ ΔΓ ἐπεζεύχθω ἡ ΑΖ. ἐπεὶ οὖν δύο δυσὶν ἴσαι, ἀλλὰ καὶ γωνία γωνίᾳ, καὶ τὸ ΑΒΔ τρίγωνον ἴσον ἐστὶ τῷ ΑΔΖ τριγώνῳ μείζονι ὄντι τοῦ ΑΔΕ· καὶ τὸ ΑΒΔ ἄρα τρίγωνον τοῦ ΑΔΕ μεῖζόν ἐστιν. ὁμοίως δὲ*

6 Γ, Β] A, *b g* B. **10** πρὸ τούτου] e corr. G, precedenti mg. B², πρωτου του AB. προσέκειτο] G², προεκειτο AB.

XI, 18]; quare etiam triangulus $H\Theta\Delta$ ad basim perpendicularis est. et in altero plano ad $\Theta\Delta$ communem sectionem planorum perpendicularis ducta est $\Delta E$; itaque $\Delta E$ ad planum $H\Theta\Delta$ perpendicularis est [Eucl. XI def. 4]; quare etiam ad $H\Delta$ [Eucl. XI def. 3]. et eodem modo demonstrabimus, etiam rectas a uertice ad $\Gamma$, $B$ ductas perpendiculares esse ad $\Delta Z$, $EZ$.

animaduertendum est, in priore propositione [I p. 24, 8], recte adiectum esse, oportere pyramidem inscriptam omnino basim aequilateram habere; neque enim aliter rectae a uertice ad latera basis ductae aequales esse poterant; in hac autem [I p. 26, 20] non adiecit, basim aequilateram esse, quia, qualiscunque est, idem sequitur.

## Ad prop. IX.

P. 30, 15—16: itaque trianguli $AB\Delta$, $B\Delta\Gamma$ maiores sunt triangulo $A\Delta\Gamma$] nam quoniam angulus ad $\Delta$ positus solidus est, erunt

$$\angle A\Delta B + B\Delta\Gamma > A\Delta\Gamma$$




[Eucl. XI, 20], et, si a uertice ad punctum medium basis [1]) rectam duxerimus uelut $\Delta E$, quae ad $A\Gamma$ perpendicularis fit,[2]) erit

$$\angle A\Delta B > A\Delta E.$$[3])

ponatur igitur

$$\angle A\Delta Z = A\Delta B, \text{ et } \Delta Z = \Delta\Gamma,$$

et ducatur $AZ$. quoniam igitur duo latera duobus aequalia sunt, et angulus angulo, erit etiam triangulus $AB\Delta = A\Delta Z$

1) Sc. trianguli $A\Delta\Gamma$.
2) Quia conus aequicrurius est (I p. 30, 2), h. e. $A\Delta = \Delta\Gamma$.
3) Nam $A\Delta B = B\Delta\Gamma$ et $A\Delta E = E\Delta\Gamma$.

**13** *οὐκ ἄλλως*] BG$^2$, *οὐ καλως* A. **15** *προσέθηκεν*] G$^2$, *προεθηκεν* AB. *εἶναι*] A, oportere esse B. **20** *τῷ*] G, *το* A. **26** *ἴσον ἐστὶ*] A, om. B. **28** *δὲ*] H, *δη* AB. fig. p. 25 minus accurate descripta in AB.

καὶ τὸ ΔΒΓ τοῦ ΔΕΓ· δύο ἄρα τὰ ΑΔΒ, ΔΒΓ τοῦ ΑΔΓ μείζονά ἐστιν.

Εἰς τὸ ι'.

Ἤχθω γὰρ ἡ ΗΖ ἐφαπτομένη τοῦ κύκλου καὶ παράλληλος οὖσα τῇ ΑΓ δίχα τμηθείσης τῆς ΑΒΓ περιφερείας κατὰ τὸ Β] ὅτι γὰρ ἡ οὕτως ἀγομένη παράλληλος γίνεται τῇ ΑΓ, δειχθήσεται ἀπὸ τοῦ κέντρου τοῦ Θ ἐπιζευχθεισῶν τῶν ΘΑ, ΘΔ, ΘΓ. ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ΑΔ τῇ ΔΓ, καὶ κοινὴ ἡ ΔΘ, δύο δυσὶν ἴσαι. ἀλλὰ καὶ βάσις ἡ ΑΘ βάσει τῇ ΘΓ· καὶ γωνία ἄρα γωνίᾳ ἐστὶν ἴση. εἰσὶν δὲ καὶ αἱ ὑπὸ ΗΒΔ, ΔΒΖ γωνίαι ὀρθαί· ἀπὸ γὰρ τοῦ κέντρου ἐπὶ τὴν ἁφὴν ἐπέζευκται ἡ ΘΒ· ὥστε καὶ λοιπὴ ἡ ὑπὸ ΔΗΒ λοιπῇ τῇ ὑπὸ ΔΖΒ ἐστιν ἴση. καὶ διὰ τοῦτο ἡ ΗΔ τῇ ΔΖ ἴση ἐστίν· ὥστε παράλληλός ἐστιν ἡ ΖΗ τῇ ΑΓ.

Περιγράφοντες δὴ πολύγωνα περὶ τὸ τμῆμα ὁμοίως δίχα τεμνομένων τῶν περιλειπομένων περιφερειῶν καὶ ἀγομένων ἐφαπτομένων λείψομέν τινα ἀποτμήματα ἐλάσσονα τοῦ Θ χωρίου] ἐπὶ μὲν τῶν ἐγγραφομένων δέδεικται ἐν τῇ Στοιχειώσει, ὅτι τὰ ἐγγραφόμενα τρίγωνα εἰς τὰ τμήματα μείζονά ἐστιν ἢ τὸ ἥμισυ τῶν καθ' ἑαυτὰ τμημάτων, καὶ διὰ τοῦτο δυνατὸν ἦν τέμνοντας τὰς περιφερείας δίχα καὶ ἐπιζευγνύντας εὐθείας καταλείπειν τινὰ ἀποτμήματα ἐλάσσονα τοῦ δοθέντος χωρίου· ἐπὶ δὲ τῆς περιγραφῆς οὐκέτι τοῦτο δέδεικται ἐν τῇ Στοιχειώσει.

ἐπεὶ οὖν ἐν τῷ προκειμένῳ τοῦτό φησιν, ὃ καὶ ἔστιν

**2** ΑΔΓ] B, ΑΔΒ A. **4** ΗΖ] *Basil.*, HZE A, *hbz* B; cfr. l p. 34, 22. **11** ΔΒΖ] B, ΒΔΖ A, ΖΔΒ $G^2$. **19** Θ] $BG^2$, ΘΓ A. **25** ἐπὶ — περιγραφῆς] de circumscriptis autem B. **27** ἔστιν — p. 28, 1 συλλογίσασθαι] ab ipso sillogizatum est B.

[Eucl. I, 4], qui maior est triangulo $A\Delta E$;[1]) quare etiam $AB\Delta > A\Delta E$. et similiter etiam $\Delta B\Gamma > \Delta E\Gamma$; itaque

$$A\Delta B + \Delta B\Gamma > A\Delta\Gamma.$$

Ad prop. X.

P. 34, 22—24: ducatur enim $HZ$ circulum contingens et rectae $A\Gamma$ parallela arcu $AB\Gamma$ in $B$ puncto in duas partes aequales diuiso] rectam enim ita ductam rectae $A\Gamma$ parallelam esse, demonstrabitur a centro $\Theta$ ductis rectis $\Theta A$, $\Theta\Delta$, $\Theta\Gamma$. nam quoniam $A\Delta = \Delta\Gamma$, et $\Delta\Theta$ communis, duo duobus aequalia. uerum etiam basis $A\Theta = \Theta\Gamma$; quare etiam angulus angulo aequalis est [Eucl. I, 8]. uerum etiam anguli $HB\Delta$, $\Delta BZ$ recti sunt; nam a centro ad contactum ducta est $\Theta B$ [Eucl. III, 18]; quare etiam reliquus $\angle \Delta HB = \Delta ZB$ reliquo. itaque $H\Delta = \Delta Z$; quare $ZH$ rectae $A\Gamma$ parallela [Eucl. VI, 2].




P. 38, 7—11: si igitur polygona circum segmentum circumscripserimus eodem modo arcus relictos in binas partes aequales diuidentes et rectas contingentes ducentes, relinquemus quaedam spatia minora spatio $\Theta$] in polygonis inscriptis in Elementis demonstratum est, triangulos in segmentis inscriptos maiores esse dimidia parte segmentorum respondentium [Eucl. XII, 2 p. 142, 20 sq.], et ea de causa fieri poterat, ut arcus in binas partes aequales diuidentes rectasque ducentes relinqueremus spatia quaedam minora spatio dato [Eucl. X, 1]; in circumscriptis uero hoc non iam in Elementis demonstratum est.

cum igitur in proposito hoc dicat, quod ipsum ex prop. VI

1) Hoc unde concludatur, non est. demonstratio uera u. I p. 31 not. 2.

αὐτὸ συλλογίσασθαι διὰ τοῦ ς΄ θεωρήματος, δεικτέον, ὅτι ἡ ἐφαπτομένη ἀφαιρεῖ τρίγωνον μεῖζον ἢ τὸ ἥμισυ τοῦ καθ' ἑαυτὸ περιλείμματος, οἷον ὡς ἐπὶ τῆς αὐτῆς καταγραφῆς, ὅτι τὸ $HΔZ$ τρίγωνον μεῖζόν ἐστιν ἢ τὸ ἥμισυ τοῦ περιλείμματος τοῦ περιεχομένου ὑπὸ τῶν $AΔ$, $ΔΓ$ καὶ τῆς $ΑΒΓ$ περιφερείας.

τῶν γὰρ αὐτῶν ἐπεζευγμένων, ἐπεὶ ὀρθή ἐστιν ἡ ὑπὸ $ΔΒΖ$, μείζων ἐστὶν ἡ $ΔΖ$ τῆς $ΒΖ$. ἡ δὲ $ΖΒ$ τῇ $ΖΓ$ ἴση· ἐφάπτεται γὰρ ἑκατέρα αὐτῶν· καὶ ἡ $ΔΖ$ ἄρα τῆς $ΖΙ$ μείζων. ὥστε καὶ τὸ $ΔΒΖ$ τρίγωνον μεῖζόν ἐστι τοῦ $ΒΖΓ$ τριγώνου· ὑπὸ γὰρ τὸ αὐτὸ ὕψος εἰσίν· πολλαπλάσιον ἄρα τοῦ $ΒΖΓ$ περιλείμματος μεῖζόν ἐστιν. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ $ΔΒΗ$ τοῦ $ΒΗΑ$ μεῖζον· ὅλον ἄρα τὸ $ΔΖΗ$ μεῖζόν ἐστιν ἢ τὸ ἥμισυ τοῦ $ΑΔΓ$ περιλείμματος.

## Εἰς τὸ ιγ΄.

Νοείσθω δὴ εἰς τὸν Β κύκλον περιγεγραμμένον καὶ ἐγγεγραμμένον καὶ περὶ τὸν Α κύκλον περιγεγραμμένον ὅμοιον τῷ περὶ τὸν Β περιγεγραμμένῳ] ὅπως μὲν οὖν ἔστιν εἰς τὸν δοθέντα κύκλον πολύγωνον ἐγγράψαι ὅμοιον τῷ ἐν ἑτέρῳ ἐγγεγραμμένῳ, δῆλον, εἰρηται δὲ καὶ Πάππῳ εἰς τὸ ὑπόμνημα τῶν Στοιχείων· περὶ δὲ τὸν δοθέντα κύκλον πολύγωνον περιγράψαι ὅμοιον τῷ περὶ ἕτερον κύκλον περιγεγραμμένῳ οὐκέτι ὁμοίως ἔχομεν εἰρημένον· ὅπερ νῦν λεκτέον. τῷ γὰρ εἰς τὸν Β κύκλον ἐγγεγραμμένῳ ὅμοιον εἰς τὸν Α ἐγγεγράφθω καὶ περὶ αὐτὸν τὸν Α ὅμοιον τῷ εἰς αὐτόν, ὡς ἐν τῷ γ΄ θεωρήματι· καὶ ἔσται ὅμοιον καὶ τῷ περὶ τὸν Β περιγεγραμμένῳ.

Καὶ ἐπεὶ ὅμοιά ἐστι τὰ εὐθύγραμμα τὰ περὶ τοὺς Α, Β κύκλους περιγεγραμμένα, τὸν αὐτὸν

colligi potest, demonstrandum est, rectam contingentem abscindere triangulum maiorem dimidia parte spatii relicti ad eum pertinentis, uelut in eadem figura [p. 27] triangulum $H\Delta Z$ maiorem esse dimidia parte spatii relicti comprehensi rectis $A\Delta$, $\Delta\Gamma$ et arcu $AB\Gamma$.

iisdem enim ductis rectis, cum angulus $\Delta BZ$ rectus sit, est $\Delta Z > BZ$. sed $ZB = Z\Gamma$; nam utraque contingit;[1]) quare etiam $\Delta Z > Z\Gamma$. itaque etiam triangulus $\Delta BZ > BZ\Gamma$ [Eucl. VI, 1]; nam eandem habent altitudinem; itaque $\Delta BZ$ multo maior est spatio relicto $BZ\Gamma$. et eadem ratione etiam $\Delta BH$ maior erit spatio $BHA$; itaque totus $\Delta ZH$ maior est dimidia parte spatii relicti $A\Delta\Gamma$.

## Ad prop. XIII.

P. 54, 15—17: fingatur igitur circumscriptum et inscriptum in circulo $B$ et circum $A$ circulum circumscriptum polygonum simile figurae circum $B$ circulum circumscriptae] quomodo fieri possit, ut in dato circulo polygonum inscribatur simile ei, quod in alio circulo inscriptum est, adparet, et insuper a Pappo in commentario ad Elementa dictum est [Scholl. in Elem. XII, 2]; uerum quo modo circum datum circulum circumscribatur polygonum simile ei, quod circum alium circulum circumscriptum est, non iam explicatum inuenimus; quare hoc nunc dicendum est.

in circulo $A$ enim inscribatur polygonum simile ei, quod in $B$ circulo inscriptum est, et circum ipsum $A$ circumscribatur polygonum ei simile, quod in eo inscriptum est, ut in tertio theoremate [u. p. 20]; et erit ei simile, quod circum $B$ circumscriptum est [Eucl. VI, 21].

P. 56, 3—6: et quoniam similes sunt figurae rectilineae circum $A$, $B$ circulos circumscriptae, ean-

1) Cfr. ZMP. XXIV p. 181 nr. 15.

**18** *τῷ*] G, e corr. EH; *το* A. **19** *οὖν*] om. B. **21** Mg. *Παππω* D, *Πάππος* G. **23** *περιγεγραμμένῳ*] EG, *περιγεγραμμενον* A.

ἕξει λόγον, ὅνπερ καὶ αἱ ἐκ τῶν κέντρων δυνάμει] τὸ τοιοῦτον ἐπὶ μὲν τῶν ἐγγεγραμμένων δέδεικται ἐν τῇ Στοιχειώσει, ἐπὶ δὲ τῶν περιγεγραμμένων οὐκέτι· δειχθήσεται δὲ οὕτως.

νενοήσθωσαν γὰρ χωρὶς τὰ περιγεγραμμένα καὶ ἐγγεγραμμένα εὐθύγραμμα καὶ ἀπὸ τῶν κέντρων τῶν κύκλων ἐπεζευγμέναι αἱ $KE$, $KM$, $\Lambda\Theta$, $\Lambda N$· φανερὸν δή, ὅτι αἱ $KE$, $\Lambda\Theta$ ἐκ τῶν κέντρων εἰσὶ τῶν περὶ τὰ περιγεγραμμένα πολύγωνα κύκλων καὶ πρὸς ἀλλήλας εἰσὶ δυνάμει, ὡς τὰ περιγεγραμμένα πολύγωνα. καὶ ἐπεὶ αἱ ὑπὸ $KEM$, $\Lambda\Theta N$ ἡμίσειαί εἰσι τῶν ἐν τοῖς πολυγώνοις γωνιῶν, ὁμοίων ὄντων τῶν πολυγώνων δῆλον, ὅτι καὶ αὐταὶ ἴσαι εἰσίν. ἀλλὰ καὶ αἱ πρὸς τοῖς $M$, $N$ ὀρθαί· ἰσογώνια ἄρα τὰ $KEM$, $\Lambda\Theta N$ τρίγωνα, καὶ ἔσται, ὡς ἡ $KE$ πρὸς $\Lambda\Theta$, ἡ $KM$ πρὸς $\Lambda N$· ὥστε καὶ τὰ ἀπ' αὐτῶν. ἀλλ' ὡς τὸ ἀπὸ $KE$ πρὸς τὸ ἀπὸ $\Theta\Lambda$, οὕτως τὰ περιγεγραμμένα πρὸς ἄλληλα· καὶ ὡς ἄρα τὸ ἀπὸ $KM$ πρὸς τὸ ἀπὸ $\Lambda N$, οὕτως τὰ περιγεγραμμένα πρὸς ἄλληλα.

Τὸν αὐτὸν ἄρα λόγον ἔχει τὸ $KT\Lambda$ τρίγωνον πρὸς τὸ εὐθύγραμμον τὸ περὶ τὸν $B$ κύκλον, ὅνπερ τὸ $KT\Lambda$ τρίγωνον πρὸς τὸ $ZP\Lambda$ τρίγωνον] ἐπεὶ γὰρ τὰ περὶ τοὺς $A$, $B$ κύκλους εὐθύγραμμα πρὸς ἄλληλά ἐστιν, ὡς αἱ ἐκ τῶν κέντρων δυνάμει, τουτέστιν ἡ $T\Lambda$ πρὸς $H$ δυνάμει, τουτέστιν ἡ $T\Lambda$ πρὸς $PZ$ μήκει, τουτέστιν ὡς τὸ $KT\Lambda$ τρίγωνον πρὸς τὸ $ZP\Lambda$, ἴσον δὲ τὸ $KT\Lambda$ τῷ περὶ τὸν $A$ κύκλον περιγεγραμμένῳ, ἔστιν ἄρα, ὡς τὸ $KT\Lambda$ πρὸς τὸ περὶ τὸν $B$ κύκλον περιγε-

---

**1** καὶ αἱ] G, και A, om. B; cfr. I p. 56, 5. **7** ἐπεζευγμέναι] GH, e corr. E; ἐπεζευμεναι A. **8** τῶν (alt.) — **9** κύκλων] circulorum circa quos (e corr.) sunt (e corr.) polygonia

dem rationem habebunt, quam radii quadrati] hoc in figuris inscriptis demonstratum est in Elementis [Eucl. XII, 1], neque uero in circumscriptis; demonstrabitur autem hoc modo.

fingantur enim figurae rectilineae circumscriptae et inscriptae seorsum descriptae et a centris circulorum ductae rectae $KE$, $KM$, $\Lambda\Theta$, $\Lambda N$; manifestum igitur, rectas $KE$, $\Lambda\Theta$ radios esse circulorum circum polygona circumscripta descriptorum et quadratos eam rationem habere, quam polygona circumscripta [Eucl. XII, 1]. et quoniam anguli $KEM$, $\Lambda\Theta N$ dimidii sunt angulorum polygonorum, adparet, cum similia sint polygona, eos quoque aequales esse. sed praeterea anguli ad $M$, $N$ positi recti sunt; similes igitur sunt trianguli $KEM$, $\Lambda\Theta N$, et erit [Eucl. VI, 4] $KE : \Lambda\Theta = KM : \Lambda N$; quare etiam quadrata earum. sed ut $KE^2 : \Theta\Lambda^2$, ita figurae circumscriptae inter se; ergo etiam, ut $KM^2 : \Lambda N^2$, ita figurae circumscriptae inter se.




P. 56, 26—29: quare triangulus $KT\Lambda$ ad figuram rectilineam circum $B$ circulum circumsciptam eandem rationem habet, quam triangulus $KT\Lambda$ ad triangulum $ZP\Lambda$] nam quoniam figurae rectilineae circum $\Lambda$, $B$ circulos circumscriptae eam inter se rationem habent, quam radii quadrati,

h. e. $T\Lambda^2 : H^2 = T\Lambda : PZ = KT\Lambda : ZP\Lambda$,[1]) et $KT\Lambda$ aequalis est figurae circum $\Lambda$ circulum circumscriptae, erit,

1) V. I p. 57 not. 2—3.

circumscripta B. **18** $\Lambda N$] BG$^2$, $\Lambda H$ A. **20—22** signum non adposuit A, habent BG$^2$, lineolam mg. D. **22** $ZP\Lambda$] BG$^2$, $ZP\Lambda$ A. **24** $\alpha\iota$] BG, om. A. **25** $T\Lambda$ (pr.)] G$^2$, e corr. B; $T\Lambda$ AB. **27** $\tau\tilde{\varphi}$] EG, $\tau o$ A.

γραμμένον, οὕτως τὸ αὐτὸ *ΚΤΔ* τρίγωνον πρὸς τὸ *ΖΡΛ* τρίγωνον.

Ἐναλλὰξ ἄρα ἐλάσσονα λόγον ἔχει τὸ πρίσμα πρὸς τὸν κύλινδρον ἤπερ τὸ ἐγγεγραμμένον εἰς τὸν *Β* κύκλον πολύγωνον πρὸς τὸν *Β* κύκλον· ὅπερ ἄτοπον] ἐὰν ποιήσωμεν, ὡς τὴν ἐπιφάνειαν τοῦ πρίσματος πρὸς τὴν ἐπιφάνειαν τοῦ κυλίνδρου, οὕτως τὸ ἐγγεγραμμένον εἰς τὸν *Β* κύκλον πρὸς ἄλλο τι, ἔσται πρὸς ἔλασσον τοῦ *Β* κύκλου, πρὸς ὃ μείζονα λόγον ἔχει τὸ ἐγγεγραμμένον ἤπερ πρὸς τὸν κύκλον, τουτέστιν ἡ ἐπιφάνεια τοῦ πρίσματος πρὸς τὴν τοῦ κυλίνδρου ἐπιφάνειαν μείζονα λόγον ἔχει ἤπερ τὸ ἐγγεγραμμένον πρὸς τὸν κύκλον. ἐδείχθη δὲ ἔχον καὶ ἐλάσσονα· ὅπερ ἄτοπον.

## Εἰς τὸ ιδ'.

Ἡ δὲ *Γ* πρὸς τὴν *Δ* μείζονα λόγον ἔχει ἢ τὸ πολύγωνον τὸ ἐν τῷ *Α* κύκλῳ ἐγγεγραμμένον πρὸς τὴν ἐπιφάνειαν τῆς πυραμίδος τῆς ἐγγεγραμμένης εἰς τὸν κῶνον] ἡ γὰρ ἐκ τοῦ κέντρου τοῦ κύκλου πρὸς τὴν πλευρὰν τοῦ κώνου μείζονα λόγον ἔχει ἤπερ ἡ ἀπὸ τοῦ κέντρου κάθετος ἀγομένη ἐπὶ μίαν πλευρὰν τοῦ πολυγώνου πρὸς τὴν ἐπὶ τὴν πλευρὰν τοῦ πολυγώνου κάθετον ἀγομένην ἀπὸ τῆς κορυφῆς τοῦ κώνου.

νενοήσθω γὰρ χωρὶς ἡ ἐν τῷ ῥητῷ καταγραφὴ καὶ εἰς τὸν *Α* κύκλον ἐγγεγραμμένον πολύγωνον τὸ *ΖΘΚ*, καὶ ἀπὸ τοῦ κέντρου τοῦ κύκλου τοῦ *Α* ἐπὶ μίαν πλευρὰν τοῦ πολυγώνου τὴν *ΘΚ* κάθετος ἤχθω ἡ *ΑΗ*· φανερὸν δή, ὅτι τὸ ὑπὸ τῆς περιμέτρου τοῦ πολυγώνου καὶ τῆς *ΑΗ* διπλάσιόν ἐστι τοῦ πολυγώνου. νενοήσθω δὴ καὶ [ἡ] τοῦ κώνου κορυφὴ τὸ *Λ* σημεῖον καὶ ἀπὸ

ut $KT\Delta$ triangulus ad figuram circum $B$ circulum circumscriptam, ita idem $KT\Delta$ ad $ZP\Delta$ triangulum.

P. 58, 12: permutando igitur prisma ad cylindrum minorem rationem habet quam figura in circulo $B$ inscripta ad $B$ circulum; quod absurdum est] si fecerimus, ut, quam habeat rationem superficies prismatis ad superficiem cylindri, eam habeat figura in circulo $B$ inscripta ad aliud, erit ad spatium minus circulo $B$,[1]) ad quod maiorem rationem habebit figura inscripta quam ad circulum [Eucl. V, 8], h. e. superficies prismatis ad superficiem cylindri maiorem rationem habet quam figura inscripta ad circulum. sed demonstratum est, eandem minorem habere; quod absurdum est.

## Ad prop. XIV.

P. 66, 12—15: sed $\Gamma : \Delta$ maiorem rationem habet quam polygonum in circulo $A$ inscriptum ad superficiem pyramidis in cono inscriptae] nam radius circuli ad latus coni maiorem rationem habet quam recta a centro ad latus aliquod polygoni perpendicularis ducta ad rectam a uertice coni ad latus polygoni perpendicularem ductam.

fingatur enim seorsum descripta figura in uerbis scriptoris [I p. 63] posita et in circulo $A$ inscriptum polygonum $Z\Theta K$, a centro autem circuli $A$ ad latus aliquod polygoni $\Theta K$ perpendicularis ducatur $AH$; manifestum igitur, rectangulum, quod contineatur perimetro polygoni rectaque $AH$, duplo maius esse polygono [Eucl. I, 41]. fingatur igitur etiam uertex coni

1) Nam prismatis superficies maior est superficie cylindri, sed figura inscripta minor circulo.

---

**3—6** signum non adp. A, hab. BG$^2$, lineolam mg. D. **3** *ἐναλλὰξ*] et permutatim B. **6** *ἐὰν*] AB, *ἐὰν γὰρ Torellius.* **13** *ἐλάσσονα*] G$^2$, *ελασσον* A. **21** *τὴν πλευρὰν*] unum latus B. **30** *ἡ*] deleuerim.

τοῦ Λ ἐπὶ τὸ Η ἐπεζευγμένη ἡ ΑΗ, ἥτις κάθετος γίνεται ἐπὶ τὴν ΘΚ, ὡς ἐδείχθη ἐν τῷ λήμματι τοῦ η' θεωρήματος. ἐπεὶ οὖν ἰσόπλευρόν ἐστι τὸ ἐγγεγραμμένον πολύγωνον, ἔστι δὲ καὶ ἰσοσκελὴς ὁ κῶνος, αἱ ἀπὸ τοῦ Λ ἐφ' ἑκάστην τῶν πλευρῶν τοῦ πολυγώνου ἀγόμεναι κάθετοι ἴσαι εἰσὶ τῇ ΑΗ· ἑκάστη γὰρ αὐτῶν δύναται τὸ ἀπὸ τοῦ ἄξονος καὶ τῆς ἴσης τῇ ΑΗ. διὰ δὲ τοῦτο καὶ τὸ ὑπὸ τῆς περιμέτρου τοῦ πολυγώνου καὶ τῆς ΑΗ διπλάσιόν ἐστι τῆς ἐπιφανείας τῆς πυραμίδος· τὸ γὰρ ὑφ' ἑκάστης πλευρᾶς καὶ τῆς ἀπὸ τῆς κορυφῆς καθέτου ἐπ' αὐτὴν ἀγομένης ἴσης τῇ ΑΗ διπλάσιόν ἐστι τοῦ καθ' ἑαυτὴν τριγώνου. ὥστε ἐστίν, ὡς ἡ ΑΗ πρὸς ΗΛ, τὸ πολύγωνον πρὸς τὴν ἐπιφάνειαν τῆς πυραμίδος κοινοῦ ὕψους τῆς περιμέτρου τοῦ πολυγώνου λαμβανομένης. ἀχθείσης δὴ τῆς ΗΝ παρὰ τὴν ΜΛ ἔσται, ὡς ἡ ΑΜ πρὸς ΜΛ, ἡ ΑΗ πρὸς ΗΝ. ἡ δὲ ΑΗ πρὸς ΗΝ μείζονα λόγον ἔχει ἤπερ πρὸς τὴν ΗΛ· μείζων γὰρ ἡ ΑΗ τῆς ΗΝ· καὶ ἡ ΑΜ ἄρα πρὸς ΜΛ, τουτέστιν ἡ Γ πρὸς τὴν Δ, μείζονα λόγον ἔχει ἤπερ ἡ ΑΗ πρὸς ΗΛ, τουτέστιν ἤπερ τὸ πολύγωνον πρὸς τὴν ἐπιφάνειαν τῆς πυραμίδος.

## Εἰς τὸ ιε'.

Καὶ ἐπεὶ τὸ ὑπὸ τῶν ΒΛ, ΑΗ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΒΔΖ καὶ τῷ ὑπὸ τῆς ΑΔ καὶ συναμφοτέρου τῆς ΔΖ, ΑΗ διὰ τὸ παράλληλον εἶναι τὴν ΔΖ τῇ ΑΗ] ἐπεὶ γὰρ παράλληλός ἐστιν ἡ ΔΖ τῇ ΑΗ, ἔστιν, ὡς ἡ ΒΑ πρὸς ΑΗ, ἡ ΒΔ πρὸς ΔΖ· καὶ διὰ τοῦτο τὸ ὑπὸ τῶν ἄκρων τῶν ΒΛ, ΔΖ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν μέσων τῶν ΒΔ, ΑΗ. ἀλλὰ τὸ ὑπὸ τῶν ΒΛ, ΔΖ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΒΔ, ΔΖ καὶ τῷ ὑπὸ

punctum $\Delta$ et ab $\Delta$ ad $H$ ducta recta $\Delta H$, quae ad $\Theta K$ perpendicularis erit, ut demonstratum est in commentario ad propositionem VIII [p. 22]. iam quoniam polygonum inscriptum aequilaterum est et conus aequicrurius, rectae ab $\Delta$ ad singula latera polygoni perpendiculares ductae aequales sunt rectae $\Delta H$; nam singulae quadratae aequales sunt quadrato axis cum quadrato rectae aequalis rectae $AH$. itaque etiam rectangulum perimetro polygoni rectaque $\Delta H$ comprehensum duplo maius est superficie pyramidis; nam rectangula comprehensa singulis lateribus rectisque a uertice ad ea perpendicularibus ductis, quae aequales sunt rectae $\Delta H$, duplo maiora sunt singulis triangulis ad ea pertinentibus. quare est, ut $AH : H\Delta$, ita polygonum ad superficiem pyramidis, si perimetrum polygoni pro communi altitudine sumimus.[1])




ducta igitur $HN$ rectae $M\Delta$ parallela erit $AM : M\Delta = AH : HN$. sed $AH : HN > AH : H\Delta$; nam $\Delta H > HN$; itaque etiam $AM : M\Delta > AH : H\Delta$, h. e. $\Gamma : \Delta$ maiorem rationem habet quam polygonum ad superficiem pyramidis.

## Ad prop. XVI.

P. 70, 22—25: et quoniam

$$B\Delta \times AH = B\Delta \times \Delta Z + A\Delta \times (\Delta Z + AH),$$

quia recta $\Delta Z$ parallela est rectae $AH$] nam quoniam $\Delta Z$ rectae $AH$ parallela est, erit

$$B\Delta : AH = B\Delta : \Delta Z;$$

1) Nam rectangulum perimetro polygoni rectaque $AH$ comprehensum duplo maius est polygono.

1 *γίνεται*] BG, *γορ εστι* compp. A. 4 *κῶνος*] EG, *κονος* A. 12 $\Delta H$] $BG^2$, $AH$ A. 14 *ὕψους*] GH, *υψ*$^{\varsigma}$ A. 18 $HN$] A, *nh* B. 26 *ἐπεὶ* — 27 *ἔστιν*] est enim B.

τῶν $A\Delta$, $\Delta Z$ διὰ τὸ πρῶτον θεώρημα τοῦ β′ βιβλίου τῆς Στοιχειώσεως· καὶ τὸ ὑπὸ τῶν $B\Delta$, $AH$ ἄρα ἴσον ἐστὶ τῷ τε ὑπὸ $B\Delta$, $\Delta Z$ καὶ τῷ ὑπὸ $A\Delta$, $\Delta Z$. κοινὸν προσκείσθω τὸ ὑπὸ $\Delta A$, $AH$· τὸ ἄρα ὑπὸ $B\Delta$, $AH$ μετὰ τοῦ ὑπὸ $\Delta A$, $AH$, ὅπερ ἐστὶν τὸ ὑπὸ $BA$, $AH$, ἴσον ἐστὶ τῷ ὑπὸ $B\Delta$, $\Delta Z$ καὶ τῷ ὑπὸ $A\Delta$, $\Delta Z$ καὶ ἔτι τῷ ὑπὸ $A\Delta$, $AH$.

## Εἰς τὸ κγ′.

Τὸ δὲ πλῆθος τῶν πλευρῶν τοῦ πολυγώνου μετρείσθω ὑπὸ τετράδος] ὑπὸ τετράδος βούλεται μετρεῖσθαι τὰς πλευρὰς τοῦ πολυγώνου διὰ τὸ τοῦ κύκλου κινουμένου περὶ τὴν $A\Gamma$ διάμετρον πάσας τὰς πλευρὰς κατὰ κωνικῶν φέρεσθαι ἐπιφανειῶν χρησίμου ἐσομένου αὐτῷ ἐν τοῖς ἑξῆς τοῦ τοιούτου. μὴ γὰρ ὑπὸ τετράδος μετρουμένων τῶν πλευρῶν τοῦ πολυγώνου, κἂν ἀρτιόπλευρον ᾖ, οὐ πάσας δυνατὸν κατὰ κωνικῶν φέρεσθαι ἐπιφανειῶν, ὡς κατανοῆσαι ἔνεστιν ἐπὶ τῶν τοῦ ἐξαγώνου πλευρῶν· δύο γὰρ τὰς ἀπεναντίον αὐτοῦ παραλλήλους πλευρὰς κατὰ κυλινδρικῆς φέρεσθαι ἐπιφανείας συμβαίνει. ὅπερ, ὡς εἴρηται, οὐ χρήσιμον αὐτῷ πρὸς τὰ ἑξῆς.

## Εἰς τὸ λ′.

Ἡ δὲ $K\Theta$ ἴση ἐστὶ τῇ διαμέτρῳ τοῦ $AB\Gamma\Delta$ κύκλου] ἐὰν γὰρ ἀπὸ τοῦ $X$ ἐπιζεύξωμεν ἐπὶ τὸ σημεῖον, καθ' ὃ ἐφάπτεται ἡ $KZ$ τοῦ $AB\Gamma\Delta$ κύκλου, νοούμενον τὸ $M$, ὁμοίως δὲ καὶ τὴν $XK$, ἐπεὶ ἴση ἐστὶν ἡ $XK$ τῇ $XZ$, εἰσὶν δὲ καὶ ὀρθαὶ αἱ πρὸς τῷ $M$, ἴση γίνεται καὶ ἡ $KM$ τῇ $MZ$. ἀλλὰ μὴν καὶ ἡ $ZX$ τῇ $X\Theta$ ἴση· παράλληλος ἄρα ἡ $XM$ τῇ $K\Theta$, καὶ διὰ τοῦτο ἔσται, ὡς ἡ $\Theta Z$ πρὸς $ZX$, οὕτως ἡ $K\Theta$ πρὸς $XM$. διπλῆ δὲ ἡ $\Theta Z$

quare $BA \times \Delta Z = B\Delta \times AH$ [Eucl. VI, 16]. sed

$$BA \times \Delta Z = B\Delta \times \Delta Z + A\Delta \times \Delta Z$$

propter primum theorema secundi libri Elementorum [Eucl. II, 1]; quare etiam

$$B\Delta \times AH = B\Delta \times \Delta Z + A\Delta \times \Delta Z.$$

commune adiiciatur $\Delta A \times AH$; itaque

$$B\Delta \times AH + \Delta A \times AH,$$

h. e. $BA \times AH, = B\Delta \times \Delta Z + A\Delta \times \Delta Z + A\Delta \times AH.$

## Ad prop. XXIII.

P. 90, 16—17: et numerus laterum polygoni per quattuor diuidi possit] latera polygoni per quattuor diuidi uult, ut circulo circum diametrum $A\Gamma$ moto omnia latera per superficies conicas circumuoluantur, quod in sequentibus ei utile erit. nam si latera polygoni per quattuor diuidi non possunt, fieri potest, etiam si paria sunt numero, ut non omnia per superficies conicas circumuoluantur, ut in hexagono intellegi potest; accidit enim, ut duo eius latera parallela inter se opposita per cylindricam superficiem circumuoluantur. quod, uti diximus, ei ad sequentia utile non est.

## Ad prop. XXX.

P. 112, 8—9: sed recta $K\Theta$ aequalis est diametro circuli $AB\Gamma\Delta$] nam si a puncto $X$ rectam duxerimus ad punctum, in quo $KZ$ circulum $AB\Gamma\Delta$ contingit, quod sit $M$, et praeterea rectam $XK$, erit $KM = MZ$, quoniam

$$XK = XZ,$$

et anguli ad $M$ positi recti sunt [Eucl. III, 18]. est autem etiam $ZX = X\Theta$; itaque $XM$ rectae $K\Theta$ parallela est, et

---

2 $B\Delta$] $G^2$, e corr. B; $BA$ AB. 4 $AH$ (pr.)] $BG^2$, $\Delta H$ A. τὸ ἄρα — 4 $\Delta A$, $AH$] *Torellius*, om. AB. 22 ι′] κϑ′ AB. 27 τῶ] scripsi, το A. γίνεται] scripsi, γαρ comp. A, enim B, ἄρα *Torellius*. καὶ (alt.)] comp. A, om. B et *Torellius*. 30 ΘZ (pr.)] A, *zt* B.

τῆς $XZ$· διπλῆ ἄρα καὶ ἡ $K\Theta$ τῆς $XM$ ἐκ τοῦ κέντρου οὔσης τοῦ $AB\Gamma\Delta$ κύκλου.

## Εἰς τὸ λβ΄.

Ἔχει δὲ καὶ ἡ διάμετρος τοῦ $M$ κύκλου πρὸς τὴν διάμετρον τοῦ $N$ λόγον, ὃν ἔχει ἡ $E\Lambda$ πρὸς $AK$] ἐὰν γὰρ ἐπιζευχθῶσιν αἱ $H\Lambda$, $\Gamma K$, ὀρθῶν γινομένων τῶν πρὸς τοῖς $K$, $\Lambda$ καὶ παραλλήλου τῆς $AK$ τῇ $\Lambda E$ ἰσογώνιον γίνεται τὸ $H\Lambda E$ τρίγωνον τῷ $\Gamma KA$ τριγώνῳ, καὶ διὰ τοῦτό ἐστιν, ὡς ἡ $H\Lambda$ πρὸς $\Lambda E$, οὕτως ἡ $\Gamma K$ πρὸς $KA$. ἀλλ' ὡς μὲν ἡ $H\Lambda$ πρὸς $\Lambda E$, οὕτως πᾶσαι αἱ ἐπιζευγνύουσαι τὰς τοῦ περιγεγραμμένου γωνίας πρὸς τὴν τοῦ περὶ τὸ περιγεγραμμένον κύκλου διάμετρον, ὡς δὲ ἡ $\Gamma K$ πρὸς $KA$, οὕτως πᾶσαι αἱ ἐπιζευγνύουσαι τὰς τοῦ ἐγγεγραμμένου γωνίας πρὸς τὴν τοῦ $AB\Gamma\Delta$ κύκλου διάμετρον· ὡς ἄρα πᾶσαι αἱ ἐπιζευγνύουσαι τὰς τοῦ περιγεγραμμένου γωνίας πρὸς τὴν τοῦ περὶ αὐτὸ κύκλου διάμετρον, οὕτως πᾶσαι αἱ ἐπιζευγνύουσαι τὰς τοῦ ἐγγεγραμμένου γωνίας πρὸς τὴν τοῦ $AB\Gamma\Delta$ κύκλου διάμετρον. ὡς δὲ ἡ διάμετρος πρὸς τὴν πλευράν, οὕτως ἡ διάμετρος πρὸς τὴν πλευράν, ἐπεὶ καί, ὡς ἡ $HE$ πρὸς $E\Lambda$, οὕτως ἡ $\Gamma A$ πρὸς $AK$· καὶ δι' ἴσου ἄρα, ὡς πᾶσαι αἱ ἐπιζευγνύουσαι πρὸς τὴν $E\Lambda$, οὕτως πᾶσαι αἱ ἐπιζευγνύουσαι πρὸς τὴν $AK$. ἀλλ' ὡς πᾶσαι πρὸς τὴν πλευρὰν τὴν $E\Lambda$, οὕτως τὸ ὑπὸ πασῶν καὶ τῆς $E\Lambda$, τουτέστι τὸ ἀπὸ τῆς ἐκ τοῦ κέντρου τοῦ $M$, πρὸς τὸ ἀπὸ $E\Lambda$ τῆς $E\Lambda$ κοινοῦ ὕψους λαμβανομένης, ὡς δὲ πᾶσαι πρὸς τὴν $AK$, οὕτως τὸ ὑπὸ πασῶν καὶ τῆς $AK$, τουτέστι τὸ ἀπὸ τῆς ἐκ τοῦ κέντρου τοῦ $N$, πρὸς τὸ ἀπὸ τῆς $AK$ κοινοῦ ὕψους πάλιν λαμβανομένης τῆς $AK$· ἔστιν ἄρα, ὡς τὸ ἀπὸ τῆς ἐκ τοῦ κέν-

ea de causa erit $\Theta Z : ZX = K\Theta : XM$. sed $\Theta Z = 2\,XZ$; quare etiam $K\Theta = 2\,XM$; et $XM$ radius est circuli $AB\Gamma\Delta$.

## Ad prop. XXXII.

P. 120, 4—6: sed etiam diametrus circuli $M$ ad diametrum circuli $N$ eam habet rationem, quam $E\Delta$ ad $\Delta K$] nam si duxerimus $H\Delta$, $\Gamma K$, erit triangulus

$$H\Delta E \sim \Gamma K\Delta,$$

quia anguli ad $K$, $\Delta$ positi recti sunt [Eucl. III, 31], et $\Delta K$ rectae $\Delta E$ parallela, et ea de causa erit

$$H\Delta : \Delta E = \Gamma K : K\Delta \text{ [Eucl. VI, 4]}.$$

sed ut $H\Delta : \Delta E$, ita omnes simul rectae angulos polygoni circumscripti iungentes ad diametrum circuli circum circumscriptum descripti [prop. 21], et ut $\Gamma K : K\Delta$, ita omnes rectae angulos polygoni inscripti iungentes ad diametrum circuli $AB\Gamma\Delta$ [prop. 21]; quare ut omnes rectae angulos circumscripti iungentes ad diametrum circuli circum id descripti, ita omnes rectae angulos inscripti iungentes ad diametrum circuli $AB\Gamma\Delta$. sed ut diametrus ad latus, ita diametrus ad latus, quoniam etiam est

$$HE : E\Delta = \Gamma\Delta : \Delta K \text{ [Eucl. VI, 4]};$$

itaque ex aequo [Eucl. V, 22] erunt, ut omnes rectae coniungentes ad $E\Delta$, ita omnes coniungentes ad $\Delta K$. sed ut omnes ad latus $E\Delta$, ita rectangulum comprehensum omnibus et latere $E\Delta$, hoc est quadratum radii circuli $M$, ad $E\Delta^2$ recta $E\Delta$ communi altitudine sumpta, et ut omnes ad $\Delta K$, ita rectangulum comprehensum omnibus et latere $\Delta K$, hoc est quadratum radii circuli $N$, ad $\Delta K^2$ rursus recta $\Delta K$ communi altitudine sumpta; erit igitur, ut quadratum radii cir-

---

3 λβ′] λ′ AB, λα′ G². 6 ὀρθῶν] GH, ορθω A. 8 τῷ ΓΚΔ τριγώνῳ] *Basil.*, mg. B²; om. AB. 16 περιγεγραμμένου] B, εγγεγραμμενου A. 21 *HE*] B², *ME* AB. ΓΔ] B², *MΔ* AB.

τρου τοῦ *M* πρὸς τὸ ἀπὸ *EΔ*, οὕτως τὸ ἀπὸ τῆς ἐκ τοῦ κέντρου τοῦ *N* πρὸς τὸ ἀπὸ *AK*. καὶ ὡς ἄρα αὐτὴ ἡ ἐκ τοῦ κέντρου τοῦ *M* πρὸς τὴν *EΔ*, οὕτως ἡ ἐκ τοῦ κέντρου τοῦ *N* πρὸς τὴν *AK*. ἐναλλάξ, ὡς ἡ ἐκ τοῦ κέντρου τοῦ *M* πρὸς τὴν ἐκ τοῦ κέντρου τοῦ *N*, οὕτως ἡ *EΔ* πρὸς *AK*, καὶ τῶν ἡγουμένων τὰ διπλάσια, ὡς ἡ διάμετρος τοῦ *M* πρὸς τὴν διάμετρον τοῦ *N*, ἡ *EΔ* πρὸς *AK*.

## Εἰς τὸ λδ'.

Αἱ δὲ *I*, *Θ* εἰλημμέναι, ὥστε τῷ ἴσῳ ἀλλήλων ὑπερέχειν τὴν *K* τῆς *I* καὶ τὴν *I* τῆς *Θ* καὶ τὴν *Θ* τῆς *H*] τὸ προκείμενόν ἐστι δύο δοθεισῶν εὐθειῶν δύο μέσας ἀνάλογον εὑρεῖν ἐν ἀριθμητικῇ ἀναλογίᾳ, ὅ ταὐτόν ἐστι τῷ τῷ ἴσῳ ἀλλήλων ὑπερέχειν. ποιητέον δὲ τοῦτο οὕτως· ἔστωσαν αἱ δοθεῖσαι δύο εὐθεῖαι αἱ *AB*, *ΓK* ἄνισοι, καὶ ἀφῃρεθείσης ἀπὸ τῆς *AB* ἴσης τῇ *ΓK* τῆς *BΔ* ἡ λοιπὴ ἡ *AΔ* τετμήσθω τρίχα κατὰ τὰ *E*, *Z*, καὶ τῇ μὲν *EB* ἴση κείσθω ἡ *H*, τῇ δὲ *ZB* ἴση ἡ *Θ*. ἔσονται δὴ αἱ *Θ*, *H* ποιοῦσαι τὸ προκείμενον.

λέγω δή, ὅτι καὶ ἡ *AB* πρὸς τὴν *ΓK* μείζονα ἢ τριπλασίονα λόγον ἔχει τοῦ, ὃν ἔχει ἡ *AB* πρὸς τὴν *H*.

γεγονέτω γάρ, ὡς ἡ *AB* πρὸς τὴν *H*, οὕτως ἡ *H* πρὸς ἄλλην τινὰ τὴν *Λ*. καὶ ἐπεί, ᾧ μέρει ἑαυτῆς ἡ *AB* ὑπερέχει τῆς *H*, τούτῳ καὶ ἡ *H* ἑαυτῆς ὑπερέχει τῆς *Λ*, τὸ δὲ αὐτὸ μέρος τῆς *AB* μεῖζόν ἐστι τοῦ μέρους τῆς *H*, μείζονι ἄρα ὑπερέχει ἡ *AB* τῆς *H* ἤπερ ἡ *H* τῆς *Λ*. τῷ δὲ αὐτῷ ὑπερέχει ἡ *AB* τῆς *H* καὶ ἡ *H* τῆς *Θ*· μείζονι ἄρα ὑπερέχει ἡ *H* τῆς *Θ* ἤπερ ἡ *H* τῆς *Λ*· ὥστε μείζων ἡ *Λ* τῆς *Θ*. ἐὰν δὴ πάλιν ποιήσωμεν, ὡς τὴν *H* πρὸς τὴν *Λ*, οὕτως τὴν *Λ* πρὸς *M*, πολλῷ μείζων ἔσται

culi $M$ ad $EA^2$, ita quadratum radii circuli $N$ ad $AK^2$. itaque etiam, ut ipse radius circuli $M$ ad $EA$, ita radius circuli $N$ ad $AK$. permutando [Eucl. V, 16], ut radius circuli $M$ ad radium circuli $N$, ita $EA : AK$, et terminis praecedentibus per duo multiplicatis [Eucl. V, 4] erit, ut diametrus circuli $M$ ad diametrum circuli $N$, ita $EA : AK$.

## Ad prop. XXXIV.

P. 124, 28—126, 2: et rectae $I$, $\Theta$ ita sumantur, ut aequali spatio excedat $K$ rectam $I$, $I$ rectam $\Theta$, $\Theta$ rectam $H$] propositum est, ut inter duas rectas datas duas medias proportionales in proportione arithmetica inueniamus, quod idem est atque aequali spatio inter se excedere. hoc autem ita faciendum est: duae rectae datae sint $AB$, $\Gamma K$ inaequales, et ablata ab $AB$ recta $B\Delta$ rectae $\Gamma K$ aequali reliqua recta $A\Delta$ in tres partes aequales diuidatur punctis $E$, $Z$, et rectae $EB$ aequalis ponatur $H$, rectae autem $ZB$ aequalis $\Theta$. itaque $\Theta$, $H$ proposito satisfacient.

dico igitur,[1]) esse $AB : \Gamma K > AB^3 : H^3$.

sit enim $AB : H = H : \Delta$. et quoniam eadem parte sui $H$ recta rectam $\Delta$ excedit, qua parte sui recta $AB$ rectam $H$ excedit, et pars rectae $AB$ maior est eadem parte rectae $H$, recta $AB$ rectam $H$ excedit spatio maiore, quam quo $H$ rectam $\Delta$ excedit. sed $AB$ rectam $H$ eodem spatio excedit, quo $H$ rectam $\Theta$; itaque $H$ rectam $\Theta$ maiore spatio excedit, quam quo $H$ rectam $\Delta$ excedit; quare

$$\Delta > \Theta.$$

si igitur rursus fecerimus $H : \Delta = \Delta : M$,




1) V. I p. 126, 18 sqq. cfr. Quaest. Arch. p. 51—52.

2 ἀπὸ] B, om. A. 4 ἐναλλάξ] A, et permutatim B, ἐναλλὰξ ἄρα *Basil.* 9 λδ′] λβ′ AB, λγ′ G². 14 τῷ τῷ] scripsi, τῳ A. ποιητέον] BH, ποιητε A, ποιεῖται EG. 16 τῇ] G, τῆς AB. 17 τῆς $B\Delta$] A, om. B, ipsa *db* mg. B². 18 ἡ Θ] *Basil.*, η $H\Theta$ A, que *th* B.

τῆς ΓΚ. καὶ ἐπεὶ τέσσαρες εὐθεῖαι αἱ ΑΒ, Η, Λ, Μ ἑξῆς ἀνάλογόν εἰσιν, ἡ ΑΒ πρὸς τὴν Μ τριπλασίονα λόγον ἔχει ἥπερ ἡ ΑΒ πρὸς Η· ὥστε ἡ ΑΒ πρὸς τὴν ΓΚ μείζονα ἢ τριπλασίονα λόγον ἔχει ἥπερ πρὸς τὴν Η.

Εἰς τὸ λζ'.

Ἀλλὰ τὸ ὑπὸ ΕΘ καὶ τῶν ΕΖ, ΓΔ, ΚΛ δέδεικται ἴσον τῷ ὑπὸ τῶν ΕΛ, ΚΘ] ἐν γὰρ τῷ δευτέρῳ καὶ εἰκοστῷ θεωρήματι δέδεικται, ὅτι αἱ ΕΖ, ΓΔ, ΚΛ πρὸς τὴν ΘΚ τὸν αὐτὸν ἔχουσι λόγον, ὃν ἡ ΛΕ πρὸς ΕΘ· ὥστε τὸ ὑπὸ τῶν ἄκρων ἴσον ἐστὶ τῷ ὑπὸ τῶν μέσων.

Τὸ δὲ ὑπὸ ΕΛ, ΚΘ ἔλασσόν ἐστι τοῦ ἀπὸ ΘΛ] καὶ γὰρ τοῦ ὑπὸ ΛΘ, ΘΚ ἴσου ὄντος τῷ ἀπὸ ΘΛ, ὥς ἐστι δῆλον ἐπιζευγνυμένης τῆς ΑΛ καὶ διὰ τοῦτο ὁμοίου γινομένου τοῦ ΘΑΚ τριγώνου τῷ ΘΑΛ· ἔσται γάρ, ὡς ἡ ΛΘ πρὸς ΘΑ, ἡ ΑΘ πρὸς ΘΚ, καὶ τὸ ὑπὸ τῶν ἄκρων ἴσον τῷ ἀπὸ τῆς μέσης.

Εἰς τὸ λθ'.

Ἔξει δὴ τὸ αὐτὸ κέντρον τῷ ΑΒΓ κύκλῳ] ἐὰν γὰρ ἀπὸ τοῦ Δ ἐπιζευχθῶσιν εὐθεῖαι ἐπὶ τὰ Θ, Ε, Λ, ἴσαι ἔσονται διὰ τὸ καὶ τὰς ἀπὸ τοῦ Δ ἐπὶ τὰς ἁφὰς ἐπιζευγνυμένας εὐθείας καθέτους εἶναι ἐπὶ τὰς ἐφαπτομένας, καὶ αὐτὰς δὲ τὰς ἐφαπτομένας δίχα τέμνεσθαι πρὸς τῇ ἁφῇ.

Ὅταν δὲ τοῦτο ᾖ, μείζων γίνεται ἡ ἐπιφάνεια τῆς ἐπιφανείας] ἐπεὶ γὰρ ἡ ΜΖ κατὰ κωνικῆς ἐπιφανείας φέρεται, κατὰ κολούρου κώνου ἐπιφανείας οἱσ-

5 λζ'] λε' AB. 8 ΕΖ] BG², Z A. ΚΛ] A, ak B. 12 signum non adp. A (ante Τὸ est :), hab. B. Τὸ] BG, τω A.

multo magis erit $M > \Gamma K$.[1]) et quoniam quattuor rectae $AB$, $H$, $\Delta$, $M$ in continua proportione sunt, erit [Eucl. V def. 11] $AB : M = AB^3 : H^3$; ergo $AB : \Gamma K > AB^3 : H^3$.

## Ad prop. XXXVII.

P. 136, 26—138, 1: sed demonstratum est, esse

$$E\Theta \times (EZ + \Gamma\Delta + KA) = E\Lambda \times K\Theta$$

nam in prop. XXII demonstratum est, esse

$$EZ + \Gamma\Delta + KA : \Theta K = \Lambda E : E\Theta;$$

ergo rectangulum terminis extremis comprehensum aequale est rectangulo mediis comprehenso [Eucl. VI, 16].

P. 138, 1—2: sed $E\Lambda \times K\Theta < \Theta A^2$] idem enim

$$< \Lambda\Theta \times \Theta K,$$

et $\Lambda\Theta \times \Theta K = \Theta A^2$, ut adparet ducta recta $A\Lambda$, quo facto triangulus $\Theta AK \sim \Theta A\Lambda$; tum enim erit

$$\Lambda\Theta : \Theta A = A\Theta : \Theta K \text{ [Eucl. VI, 4]},$$

et rectangulum terminis extremis comprehensum aequale erit quadrato medii [Eucl. VI, 17].

## Ad prop. XXXIX.

P. 144, 2: is igitur idem centrum habebit, quod circulus $AB\Gamma$] nam si a puncto $\Delta$ ad $\Theta$, $E$, $\Lambda$ rectae ducuntur, aequales erunt, quia rectae a $\Delta$ ad contactus ductae perpendiculares[2]) erunt ad rectas contingentes [Eucl. III, 18], et ipsae rectae contingentes in contactu in binas partes aequales diuiduntur.

P. 144, 29: quod cum ita sit, superficies superficie maior erit] nam quoniam[3]) $MZ$ per superficiem co-

1) Nam $H \div \Lambda > \Lambda \div M$ (ut supra p. 40 lin. 23 sq.), et multo magis $H \div \Theta > \Lambda : M$. sed $H \div \Theta = \Theta : \Gamma K$; quare $\Theta \div \Gamma K > \Lambda \div M$. et $\Theta < \Lambda$; itaque $\Gamma K < M$.

2) Et aequales.

3) Minus apte loquitur.

18 $\lambda\vartheta'$] $\lambda\zeta'$ AB. 20 $\Delta$] BG$^2$, $\Delta E$ A. 23 $\delta\grave{\epsilon}$] A, om. B
27 *κολούρου*] *Torellius*, *κωλουρου* A.

θήσεται, ᾗ ἴσος ἐστὶ κύκλος, οὗ ἡ ἐκ τοῦ κέντρου μέσον λόγον ἔχει τῆς τε $ZM$ καὶ τῆς ἡμισείας συναμφοτέρου τῆς $ZH$ καὶ τῆς $MN$. ὁμοίως δὴ καὶ τῇ ὑπὸ τῆς $MA$ γενομένῃ κολούρου κώνου ἐπιφανείᾳ ἴσος ἐστὶ κύκλος, οὗ ἡ ἐκ τοῦ κέντρου μέσον λόγον ἔχει τῆς $MA$ καὶ τῆς ἡμισείας συναμφοτέρου τῆς $AB$ καὶ $MN$. καί ἐστιν ἡ μὲν $ZM$ μείζων τῆς $MA$, ἡ δὲ $ZH$ τῆς $AB$· μείζων ἄρα καὶ ἡ μέση τῆς μέσης· ὥστε καὶ ἡ ἐπιφάνεια τῆς ἐπιφανείας. ἡ ἄρα ὑπὸ $ZM$, $NH$ μείζων ἐστὶ τῆς ὑπὸ $MA$, $NB$ ἐπιφανείας.

*Εἰς τὸ μ′.*

Ἡ ἄρα τοῦ σχήματος τοῦ $KZΛ$ ἐπιφάνεια μείζων ἐστὶ τοῦ κύκλου] καὶ τὰ ἐξῆς. ἀσαφέστερον δοκεῖ συνῆχθαι τὸ εἰρημένον, λέγοις δ' ἂν σαφῶς οὕτως· ἐπειδὴ ὁ $N$ κύκλος ἴσος ἐστὶ τῇ ἐπιφανείᾳ τοῦ σχήματος, ἡ δὲ ἐκ τοῦ κέντρου τοῦ $N$ δύναται τὸ ὑπὸ $MΘ$, $ZH$, τὸ δὲ ὑπὸ $MΘ$, $ZH$ μεῖζον τοῦ ὑπὸ $ΓΔ$, $ΔΞ$· ἡ μὲν γὰρ $MΘ$ ἴση δέδεικται τῇ $ΓΔ$, ἡ δὲ $ZH$ μείζων τῆς $ΔΞ$· ὁ $N$ ἄρα κύκλος μείζων ἐστὶ τοῦ κύκλου, οὗ ἡ ἐκ τοῦ κέντρου δύναται τὸ ὑπὸ $ΓΔ$, $ΔΞ$. τὸ δὲ ὑπὸ $ΓΔ$, $ΔΞ$ ἴσον τῷ ἀπὸ $ΔA$· ὁ ἄρα $N$ κύκλος, τουτέστιν ἡ ἐπιφάνεια τοῦ περιγεγραμμένου, μείζων ἐστὶ τοῦ κύκλου, οὗ ἡ ἐκ τοῦ κέντρου ἴση ἐστὶ τῇ $ΔA$.

*Εἰς τὸ μα′.*

Ἀλλὰ τὰ εἰρημένα χωρία πρὸς ἄλληλά ἐστιν, ὡς τὸ ἀπὸ τῆς $EK$ πλευρᾶς πρὸς τὸ ἀπὸ τῆς $AA$ πλευρᾶς] ἐὰν γὰρ ἐπιζευχθῇ ἡ $ΔAK$, παραλλήλου οὔσης τῆς $EK$ τῇ $AA$ ἐστιν, ὡς ἡ $EΔ$ πρὸς $ΔA$, ἡ $EK$ πρὸς $AA$. ὡς δὲ ἡ $EΔ$ πρὸς $ΔA$, ἡ $EZ$ πρὸς $AΓ$· καὶ

nicam fertur, per superficiem coni truncati feretur, cui aequalis est circulus, cuius radius media est proportionalis inter $ZM$ et $\frac{1}{2}(ZH+MN)$ [prop. 16]. eodem modo etiam superficiei coni truncati per rectam $MA$ ortae aequalis est circulus, cuius radius media est proportionalis inter

$$MA \text{ et } \tfrac{1}{2}(AB+MN).$$

et $ZM > MA$, $ZH > AB$; quare etiam media proportionalis maior est media; itaque etiam superficies superficie. ergo superficies per $ZM$, $NH$ orta maior est superficie per $MA$, $NB$ orta.

## Ad prop. XL.

P. 148, 16—17: superficies igitur figurae $KZ\Delta$ maior est circulo] et quae sequuntur. quod dicit, minus perspicue colligi uidetur, perspicue autem sic dixeris: quoniam circulus $N$ aequalis est superficiei figurae, radius autem circuli $N$ quadratus aequalis est rectangulo $M\Theta \times ZH$, et

$$M\Theta \times ZH > \Gamma\Delta \times \Delta\Xi$$

(nam $M\Theta = \Gamma\Delta$, ut demonstratum est, et $ZH > \Delta\Xi$), circulus $N$ maior est circulo, cuius radius quadratus aequalis est rectangulo $\Gamma\Delta \times \Delta\Xi$. sed

$$\Gamma\Delta \times \Delta\Xi = \Delta A^2 \text{ [Eucl. VI, 8 coroll.]};$$

itaque circulus $N$, h. e. superficies figurae circumscriptae, maior est circulo, cuius radius aequalis est rectae $\Delta A$.

## Ad prop. XLI.

P. 152, 15—17: sed spatia, quae commemorauimus, eam inter se rationem habent, quam $EK^2 : A\Delta^2$] nam si duxerimus $\Delta\Lambda K$, erit, cum $EK$ rectae $A\Delta$ parallela sit, $E\Delta : \Delta A = EK : A\Lambda$. sed $E\Delta : \Delta A = EZ : A\Gamma$; quare

---

**2** ἔχει] B, επι A. **11** $\mu'$] $\lambda\eta'$ AB. **18** γὰρ] A, om. B. **20** $\Delta\Xi$] e corr. B, $\Delta H$ A. **21** $\Delta\Xi$] corr. ex $dh$ B, $\Delta H$ A. **24** $\mu\alpha'$] $\lambda\vartheta'$ AB.

ὡς ἄρα ἡ $EK$ πρὸς $AΔ$, ἡ $EZ$ πρὸς $AΓ$ καὶ ἡ ἡμίσεια τῆς $EZ$ πρὸς τὴν ἡμίσειαν τῆς $AΓ$. ὁμοίως δὴ καὶ ἐπὶ πασῶν τῶν ἐπιζευγνυουσῶν τὰς γωνίας τῶν πολυγώνων δειχθήσεται, ὅτι τὸν αὐτὸν ἔχουσι λόγον πρὸς ἀλλήλας, ὃν ἡ $EK$ πρὸς $AΔ$. καὶ ὡς ἄρα ἓν πρὸς ἕν, οὕτως ἅπαντα πρὸς ἅπαντα· ὡς ἄρα ἡ $EK$ πρὸς $AΔ$, οὕτως πᾶσαι αἱ ἐπιζευγνύουσαι τὰς τοῦ περιγεγραμμένου γωνίας μετὰ τῆς ἡμισείας τῆς βάσεως τοῦ μείζονος τμήματος πρὸς πάσας τὰς ἐπιζευγνυούσας μετὰ τῆς ἡμισείας τῆς βάσεως τοῦ ἐλάσσονος τμήματος. ὥστε καί, ὡς τὸ ἀπὸ τῆς $EK$ πρὸς τὸ ἀπὸ τῆς $AΔ$, οὕτως τὸ ὑπὸ τῆς $EK$ καὶ πασῶν πρὸς τὸ ὑπὸ τῆς $AΔ$ καὶ πασῶν· τὰ γὰρ ὅμοια εὐθύγραμμα ἐν διπλασίονι λόγῳ ἐστὶ τῶν ὁμολόγων πλευρῶν, καὶ τοῦ μὲν τῆς $EK$ πρὸς $AΔ$ λόγου διπλασίων ὁ τοῦ ἀπὸ τῆς $EK$ πρὸς τὸ ἀπὸ τῆς $AΔ$, τῶν δὲ ἐπιζευγνυουσῶν τὰς τοῦ μείζονος πρὸς τὰς ἐπιζευγνυούσας τὰς τοῦ ἐλάττονος διπλασίων ἐστὶν ὁ τοῦ ὑπὸ τῆς $EK$ καὶ πασῶν πρὸς τὸ ὑπὸ τῆς $AΔ$ καὶ πασῶν· ὅμοια γὰρ καὶ ταῦτα διὰ τὸ τὰς πλευρὰς ἀνάλογον ἔχειν.

Καί ἐστιν, ὡς ἡ $EK$ πρὸς τὴν ἐκ τοῦ κέντρου τῆς ἐλάσσονος σφαίρας, οὕτως ἡ $AΔ$ πρὸς τὴν ἀπὸ τοῦ κέντρου ἐπὶ τὴν $AΔ$ κάθετον ἠγμένην] ἐὰν γὰρ ἀπὸ τοῦ κέντρου ἐπὶ τὴν ἀφὴν ἐπιζεύξωμεν εὐθεῖαν, ἔσται ἡ ἐπιζευχθεῖσα κάθετος ἐπ' ἀμφοτέρας τὰς $EK$, $AΔ$, καὶ ἔσται, ὡς ἡ $EΔ$ πρὸς $ΔA$, τουτέστιν ἡ $EK$ πρὸς $AΔ$, ἡ ἀπὸ τοῦ κέντρου ἐπὶ τὴν ἀφὴν ἐπιζευχθεῖσα, τουτέστιν ἡ ἐκ τοῦ κέντρου τῆς ἐλάσσονος σφαίρας, πρὸς τὴν ἀπὸ τοῦ κέντρου ἐπὶ τὴν $AΔ$ κάθετον.

Ἐδείχθη δέ, ὡς ἡ $EK$ πρὸς $AΔ$, οὕτως ἡ ἐκ τοῦ κέντρου τοῦ $M$ κύκλου πρὸς τὴν ἐκ τοῦ κέντρου τοῦ $N$ κύκλου] ἐπεὶ δέδεικται, ὅτι ἐστίν, ὡς τὸ πολύ-

etiam $EK : A\Lambda = EZ : A\Gamma = \frac{1}{2}EZ : \frac{1}{2}A\Gamma$. iam similiter etiam in omnibus rectis angulos polygonorum iungentibus demonstrabimus, eas inter se eam rationem habere, quam $EK : A\Lambda$. quare etiam, ut una ad unam, ita omnes ad omnes [Eucl. V, 12]; itaque, ut $EK : A\Lambda$, ita omnes rectae angulos polygoni circumscripti iungentes cum dimidia basi maioris segmenti ad omnes rectas ⟨angulos polygoni inscripti⟩ iungentes cum dimidia basi segmenti minoris. quare etiam, ut $EK^2 : A\Lambda^2$, ita rectangulum comprehensum recta $EK$ omnibusque ⟨rectis iungentibus⟩ ad rectangulum comprehensum recta $A\Lambda$ omnibusque; nam figurae rectilineae similes in duplici proportione sunt quam latera inter se respondentia [Eucl. VI, 20], et $EK^2 : A\Lambda^2$ duplex est quam proportio $EK : A\Lambda$, proportio autem, quam habet rectangulum comprehensum recta $EK$ omnibusque ⟨rectis iungentibus⟩ ad rectangulum comprehensum recta $A\Lambda$ omnibusque, duplex est quam ea, quam habent rectae ⟨angulos⟩ maioris ⟨polygoni⟩ iungentes ad rectas ⟨angulos⟩ minoris iungentes; nam illa quoque rectangula similia sunt, quia latera proportionalia habent [Eucl. VI def. 1].[1])

P. 154, 10—13: et est, ut $EK$ ad radium sphaerae minoris, ita $A\Lambda$ ad rectam a centro ad $A\Lambda$ perpendicularem ductam] nam si a centro ad contactum rectam duxerimus, recta ducta ad utramque rectam $EK$, $A\Lambda$ perpendicularis erit [Eucl. III, 18; III, 3], et erit, ut $E\Lambda : \Lambda A$, h. e. $EK : A\Lambda$, ita recta a centro ad contactum ducta, h. e. radius sphaerae minoris, ad rectam a centro ad $A\Lambda$ perpendicularem [Eucl. VI, 4].

P. 154, 13—15: demonstratumque est, rectam $EK$ ad $A\Lambda$ eandem rationem habere, quam radium circuli $M$ ad radium circuli $N$] quia demonstratum est, esse,

1) Miramur, cur Eutocius non ad prop. 32 p. 118, 1 sq. haec adnotauerit; ibi enim idem fere concluditur; u. p. 119 not. 1. ceterum demonstratio hoc loco parum recte procedit; maxime uerba lin. 12 τὰ γὰρ — 14 πλευρῶν rationem conturbant; εὐθύγραμμα enim eadem sunt rectangula, de quibus lin. 19 legitur: ὅμοια γὰρ καὶ ταῦτα. lin. 15 pro τῶν δὲ scribere debuit τοῦ δὲ τῶν.

1 καὶ ἡ] scripsi, και A. 26 ἐπιζευχθεῖσα] B, επιζευχθεισαν A.

γωνον πρὸς τὸ πολύγωνον, οὕτως ὁ *M* κύκλος πρὸς τὸν *N*, τουτέστι τὸ ἀπὸ τῆς ἐκ τοῦ κέντρου τοῦ *M* πρὸς τὸ ἀπὸ τῆς ἐκ τοῦ κέντρου τοῦ *N*.

*Εἰς τὸ μβ'.*

Ἑκάτερος γὰρ τῶν λόγων διπλάσιός ἐστι τοῦ, ὃν ἔχει ἡ τοῦ περιγεγραμμένου πολυγώνου πλευρὰ πρὸς τὴν τοῦ ἐγγεγραμμένου] ἐδείχθη γὰρ ἐν τῷ πρὸ τούτου, ὅτι ἐστίν, ὡς ἡ ἐκ τοῦ κέντρου τοῦ κύκλου τοῦ ἴσου τῇ ἐπιφανείᾳ τοῦ περιγεγραμμένου πρὸς τὴν ἐκ τοῦ κέντρου τοῦ κύκλου τοῦ ἴσου τῇ ἐπιφανείᾳ τοῦ ἐγγεγραμμένου, οὕτως ἡ πλευρὰ τοῦ περιγεγραμμένου πολυγώνου πρὸς τὴν πλευρὰν τοῦ ἐγγεγραμμένου. οἱ δὲ κύκλοι πρὸς ἀλλήλους ἐν διπλασίονι λόγῳ εἰσὶν τῶν ἐκ τῶν κέντρων· καὶ ἡ ἐπιφάνεια ἄρα πρὸς τὴν ἐπιφάνειαν διπλασίονα λόγον ἔχει ἥπερ ἡ πλευρὰ πρὸς τὴν πλευράν.

*Εἰς τὸ μδ'.*

Τὸ ἄρα περιγεγραμμένον στερεὸν πρὸς τὸ ἐγγεγραμμένον ἐλάσσονα λόγον ἔχει ἢ ὁ στερεὸς τομεὺς πρὸς τὸν *Θ* κῶνον] εἰ γὰρ τὸ περιγεγραμμένον στερεὸν πρὸς τὸ ἐγγεγραμμένον ἐλάσσονα ἢ τριπλασίονα λόγον ἔχει τοῦ, ὃν ἔχει ἡ *Δ* πρὸς *Z*, ἡ δὲ *Δ* πρὸς *E* μείζονα ἢ τριπλασίονα, τὸ ἄρα περιγεγραμμένον πρὸς τὸ ἐγγεγραμμένον ἐλάσσονα λόγον ἔχει ἥπερ ἡ *Δ* πρὸς *E*. ἡ δὲ *Δ* πρὸς *E* ἥπερ ὁ τομεὺς πρὸς τὸν κῶνον· καὶ τὸ περιγεγραμμένον ἄρα πρὸς τὸ ἐγγεγραμμένον ἐλάσσονα λόγον ἔχει ἥπερ ὁ τομεὺς πρὸς τὸ κῶνον.

[*Εὐτοκίου Ἀσκαλωνίτου ὑπόμνημα εἰς τὸ πρῶτον τῶν Ἀρχιμήδους περὶ σφαίρας καὶ κυλίνδρου ἐκδόσεως παρανεγνωσθείσης τῷ Μιλησίῳ μηχανικῷ Ἰσιδώρῳ ἡμετέρῳ διδασκάλῳ*].

ut polygonum ad polygonum, ita $M$ circulum ad $N$, h. e. quadratum radii circuli $M$ ad quadratum radii circuli $N$ [Eucl. XII, 2].[1])

Ad prop. XLII.

P. 156, 27—158, 2: utraque enim ratio duplex est quam ea, quam habet latus polygoni circumscripti ad latus inscripti] nam demonstratum est in propositione praecedenti,[2]) esse, ut radius circuli superficiei polygoni circumscripti aequalis ad radium circuli superficiei inscripti aequalis, ita latus polygoni circumscripti ad latus inscripti. circuli autem inter se in duplici proportione sunt quam radii [Eucl. XII, 2]; itaque etiam superficies ad superficiem duplicem rationem habet quam latus ad latus.[3])

Ad prop. XLIV.

P. 162, 21—23: itaque figura solida circumscripta ad inscriptam minorem rationem habet quam sector solidus ad conum $\Theta$] nam si figura solida circumscripta ad inscriptam minorem quam triplicem rationem habet quam $\Delta : Z$, sed $\Delta : E$ maiorem quam triplicem, figura circumscripta ad inscriptam minorem rationem habet quam $\Delta : E$; sed $\Delta : E$ ⟨minorem rationem habet⟩ quam sector ad conum; quare etiam figura circumscripta ad inscriptam minorem rationem habet quam sector ad conum.

[Eutocii Ascalonitae commentarius in primum librum Archimedis de sphaera et cylindro editione recognita ab Isidoro mechanico Milesio, magistro nostro].

1) Nam polygona eam inter se rationem habent, quam $EK^2 : \Delta\Delta^2$. ceterum hoc, quod demonstratum esse Eutocius contendit, ipsum demonstratum non est; sequitur autem ex I p. 152, 15 sq.

2) Prop. 41 p. 154, 13 sq.; cfr. supra p. 46, 31 sq.

3) Haec demonstratio inutilibus ambagibus utitur; nam sic ratiocinandum. superficies : superficiem = latus$^2$ : latus$^2$ (prop. 42) = polygonum : polygonum (Eucl. VI, 20).

---

**4** $\mu\beta'$] $\mu'$ AB. **8** πρὸ] B$^2$, περι AB. **17** $\mu\delta'$] $\mu\beta'$ AB. **22** $\Delta$ (pr.)] *Torellius*, *B* AB. **25** $E$ ἤπερ] cfr. Quaest. Archim. p. 159. **31** explicit add. B.

## Εἰς τὸ β'.

*Σαφῶς ἡμῖν τῶν ἐν τῷ πρώτῳ βιβλίῳ θεωρημάτων γεγραμμένων ἀκόλουθος καὶ ἡ κατὰ τὸν αὐτὸν τρόπον ἐν τοῖς τοῦ δευτέρου θεωρήμασι σπουδή.*

*φησὶν δὴ πρῶτον ἐν τῷ α' θεωρήματι·*

*Εἰλήφθω τοῦ δοθέντος κώνου ἢ κυλίνδρου ἡμιόλιος κύλινδρος]* τοῦτο δὲ διχῶς δυνατόν ἐστιν ποιεῖν ἤτοι τῆς βάσεως τῆς αὐτῆς σωζομένης ἐν ἀμφοτέροις ἢ τοῦ ὕψους. καὶ ἵνα σαφέστερον γένηται τὸ λεγόμενον, νενοήσθω κῶνος ἢ κύλινδρος, οὗ βάσις μὲν ὁ *A* κύκλος, ὕψος δὲ ἡ *AΓ*, καὶ δέον ἔστω αὐτοῦ ἡμιόλιον κύλινδρον εὑρεῖν.

*ὑποκείσθω δὴ πρότερον ὁ AΓ κύλινδρος, καὶ προσεκβεβλήσθω τὸ AΓ ὕψος τοῦ κυλίνδρου, καὶ κείσθω τῇ AΓ ἡμίσεια ἡ ΓΔ· ἡ ἄρα AΔ ἡμιολία ἐστὶν τῆς AΓ. ἐὰν δὴ νοήσωμεν κύλινδρον βάσιν μὲν ἔχοντα τὸν A κύκλον, ὕψος δὲ τὴν AΔ εὐθεῖαν, ἡμιόλιος ἔσται τοῦ προτεθέντος τοῦ AΓ· οἱ γὰρ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντες κῶνοι καὶ κύλινδροι πρὸς ἀλλήλους εἰσὶν ὡς τὰ ὕψη. εἰ δὲ κῶνος εἴη ὁ AΓ, τμηθείσης τῆς AΓ δίχα ὡς κατὰ τὸ E ἐὰν πάλιν νοηθῇ κύλινδρος βάσιν μὲν ἔχων τὸν A κύκλον, ὕψος δὲ τὴν AE, ἔσται ἡμιόλιος τοῦ AΓ κώνου· ὁ γὰρ κύλινδρος ὁ βάσιν ἔχων τὸν A κύκλον, ὕψος δὲ τὴν AΓ εὐθεῖαν, τοῦ μὲν AΓ κώνου τριπλάσιός ἐστι, τοῦ δὲ AE κυλίνδρου διπλάσιος· ὥστε δῆλον, ὅτι καὶ ὁ AE κύλινδρος ἡμιόλιός ἐστι τοῦ AΓ κώνου.*

## In librum II.

Cum theoremata libri primi perspicue exposuerimus, consentaneum est theorematis libri secundi idem studium impendere.

primum igitur in theoremate I dicit:

P. 170, 14—15: sumatur cylindrus dimidia parte maior dato cono uel cylindro] hoc autem duobus modis facere licet, aut basi aut altitudine eadem in utroque seruata. et quo magis adpareat, quod dicimus, fingatur conus uel cylindrus, cuius basis sit $A$ circulus, altitudo autem $A\Gamma$, et sit propositum, ut cylindrum eo dimidia parte maiorem inueniamus.

supponatur igitur prius cylindrus $A\Gamma$, et producatur $A\Gamma$ altitudo cylindri, et ponatur $\Gamma\Delta = \frac{1}{2}A\Gamma$; itaque $A\Delta = \frac{3}{2}A\Gamma$. si igitur finxerimus cylindrum basim habentem circulum $A$, altitudinem autem rectam $A\Delta$, dimidia parte maior erit dato $A\Gamma$; nam coni et cylindri, qui in eadem basi sunt, eam inter se rationem habent, quam altitudines [Eucl. XII, 14].

sin conus est $A\Gamma$, si rursus recta $A\Gamma$ in $E$ in duas partes aequales diuisa cylindrum finxerimus basim habentem $A$ circulum, altitudinem autem $AE$, dimidia parte maior erit cono $A\Gamma$; nam cylindrus basim habens $A$ circulum, altitudinem autem rectam $A\Gamma$, triplo maior est cono $A\Gamma$, duplo autem maior cylindro $AE$ [Eucl. XII, 10; XII, 14]; quare adparet, etiam cylindrum $AE$ dimidia parte maiorem esse cono $A\Gamma$.

---

1 *Ευτοκιου Ασκαλωνιτου υπομνημα εις το β περι σφαιρας και κυλινδρου* A, eiusdem submemoratio in secundum de spera et cylindro incipit B. 4 *τοῦ*] addidi, om. A. 13 *δὴ*] *Torellius*, *δε* AB. $A\Gamma$] $AB^2$, om. B.

οὕτως μὲν οὖν τῆς αὐτῆς βάσεως σωζομένης ἔν τε τῷ προτεθέντι καὶ ἐν τῷ λαμβανομένῳ γενήσεται τὸ πρόβλημα, ἔνεστι δὲ καὶ τῆς βάσεως διαφόρου τυγχανούσης, τοῦ δὲ ἄξονος τοῦ αὐτοῦ μένοντος, τὸ αὐτὸ ποιεῖν.

ἔστω γὰρ πάλιν κῶνος ἢ κύλινδρος, οὗ βάσις ὁ $ZH$ κύκλος, ὕψος δὲ ἡ $\Theta K$ εὐθεῖα, οὗ δέον ἐστω ἡμιόλιον κύλινδρον εὑρεῖν ὕψος ἔχοντα ἴσον τῇ $\Theta K$. ἀναγεγράφθω ἀπὸ τῆς $ZH$ διαμέτρου τοῦ κύκλου τετράγωνον τὸ $Z\Lambda$, καὶ προσεκβληθείσης τῆς $ZH$ κείσθω αὐτῆς ἡμίσεια ἡ $HM$, καὶ συμπεπληρώσθω τὸ $ZN$ παραλληλόγραμμον· τὸ ἄρα $ZN$ ἡμιόλιόν ἐστι τοῦ $Z\Lambda$ καὶ ἡ $MZ$ τῆς $ZH$. συνεστάτω δὴ τῷ $ZN$ παραλληλογράμμῳ ἴσον τετράγωνον τὸ $\Xi\Pi$, καὶ περὶ διάμετρον μίαν τῶν πλευρῶν αὐτοῦ τὴν $\Xi O$ κύκλος γεγράφθω. ἔσται δὴ ὁ $\Xi O$ ἡμιόλιος τοῦ $ZH$· οἱ γὰρ κύκλοι πρὸς ἀλλήλους εἰσίν, ὡς τὰ ἀπὸ τῶν διαμέτρων τετράγωνα. καὶ ἐὰν πάλιν νοηθῇ κύλινδρος βάσιν μὲν ἔχων τὸν $\Xi O$ κύκλον, ὕψος δὲ ἴσον τῇ $\Theta K$, ἔσται ἡμιόλιος τοῦ κυλίνδρου, οὗ βάσις μὲν ὁ $ZH$ κύκλος, ὕψος δὲ ἡ $\Theta K$.




εἰ δὲ κῶνος εἴη, ὁμοίως τὰ αὐτὰ ποιήσαντες καὶ τῷ τρίτῳ μέρει τοῦ $ZN$ παραλληλογράμμου ἴσον συστησάμενοι τετράγωνον ὡς τὸ $\Xi\Pi$ καὶ περὶ τὴν πλευρὰν αὐτοῦ τὴν $\Xi O$ κύκλον γράψαντες νοήσομεν ἀπ' αὐτοῦ κύλινδρον ὕψος ἔχοντα τὴν $\Theta K$· ἕξομεν αὐτὸν ἡμιόλιον τοῦ προτεθέντος κώνου. ἐπεὶ γὰρ τὸ $ZN$ παραλληλόγραμμον τοῦ $\Xi\Pi$ τετραγώνου τριπλάσιον, τοῦ δὲ $Z\Lambda$ ἡμιόλιον, τὸ $Z\Lambda$ τοῦ $\Xi\Pi$ ἔσται διπλάσιον, καὶ διὰ τοῦτο

ita igitur problema resoluetur eadem basi seruata et in dato et in inuento, sed licet idem etiam ita facere, ut basis alia sit, axis autem idem maneat.

sit enim rursus conus uel cylindrus, cuius basis sit $ZH$ circulus, altitudo autem recta $\Theta K$, et propositum sit, ut inueniamus cylindrum dimidia parte maiorem illo altitudinem habentem rectae $\Theta K$ aequalem. construatur in diametro circuli $ZH$ quadratum $Z\Lambda$, productaque recta $ZH$ ponatur




$$HM = \tfrac{1}{2}ZH,$$

et compleatur parallelogrammum $ZN$; itaque erit

$$ZN = \tfrac{3}{2}Z\Lambda, \text{ et } MZ = \tfrac{3}{2}ZH.$$

construatur igitur quadratum $\Xi\Pi$ aequale parallelogrammo $ZN$, et circum diametrum $\Xi O$ latus aliquod eius describatur circulus. erit igitur circulus $\Xi O$ dimidia parte maior circulo $ZH$; nam circuli inter se eam rationem habent, quam diametrorum quadrata [Eucl. XII, 2]. et si rursus finxerimus cylindrum basim habentem circulum $\Xi O$, altitudinem autem rectae $\Theta K$ aequalem, dimidia parte maior erit cylindro, cuius basis est $ZH$ circulus, altitudo autem $\Theta K$.

sin conus est, rursus iisdem comparatis et quadrato $\Xi\Pi$ aequali posito tertiae parti parallelogrammi $ZN$, circum $\Xi O$ autem latus eius circulo descripto, fingamus in hoc circulo cylindrum constructum altitudinem habentem $\Theta K$; erit dimidia parte maior dato cono. nam quoniam parallelogrammum $ZN$ triplo maius est quadrato $\Xi\Pi$, sed dimidia parte maius parallelogrammo $Z\Lambda$, erit $Z\Lambda = 2\Xi\Pi$, eaque de causa etiam circulus duplo maior erit circulo [Eucl. XII, 2] et cy-

---

7 *οὐ δέον*] BGH, *οὐδε ον* A. 15 *τῆς*] G, *τη* A. 17 *τὴν ΞΟ κύκλος*] circulus *xo* B. 21 *ΞΟ*] B, *ΞΡΟ* G, *ΞΘΟ* A. 27 *τὴν ΞΟ κύκλον*] circulum *xo* B. *νοήσωμεν*] AB, *ἐὰν νοήσωμεν Torellius.* 28 *ἕξομεν*] fort. *ἕξομεν οὖν.*

καὶ ὁ κύκλος τοῦ κύκλου διπλάσιος καὶ ὁ κύλινδρος τοῦ κυλίνδρου. ἀλλ' ὁ κύλινδρος ὁ βάσιν ἔχων τὸν ZH κύκλον, ὕψος δὲ τὴν ΘK, τριπλάσιός ἐστι τοῦ περὶ τὴν αὐτὴν βάσιν καὶ ὕψος τὸ αὐτὸ κώνου· ὥστε καὶ ὁ κύλινδρος ὁ βάσιν ἔχων τὸν ΞO κύκλον, ὕψος δὲ ἴσον τῇ ΘK, ἡμιόλιός ἐστι τοῦ προκειμένου κώνου.




εἰ δὲ δέοι μήτε τὸν ἄξονα τὸν αὐτὸν εἶναι μήτε τὴν βάσιν, γενήσεται τὸ πρόβλημα πάλιν διχῶς· ἢ γὰρ τὴν βάσιν ἕξει ἴσην τῇ δοθείσῃ ἢ τὸν ἄξονα ὁ πριζόμενος κύλινδρος. ἔστω γὰρ πρότερον ἡ βάσις διδομένη, ὡς ὁ ΞO κύκλος, καὶ δέον ἔστω κύλινδρον εὑρεῖν ἡμιόλιον τοῦ δοθέντος κώνου ἢ κυλίνδρου ἀπὸ βάσεως τῆς ΞO. εἰλήφθω, ὡς προείρηται, τοῦ δοθέντος κώνου ἢ κυλίνδρου ἡμιόλιος κύλινδρος βάσιν ἔχων τὴν αὐτὴν τῷ προτεθέντι ὁ ΦΥ, καὶ γεγονέτω, ὡς τὸ ἀπὸ τῆς ΞO πρὸς τὸ ἀπὸ ΤΥ, οὕτως τὸ ὕψος τοῦ ΦΥ πρὸς τὴν PΣ. ἔσται ἄρα ὁ κύλινδρος ὁ ἀπὸ τῆς ΞO βάσεως ὕψος ἔχων τὴν PΣ ἴσος τῷ ΦΥ· ἀντιπεπόνθασιν γὰρ αἱ βάσεις τοῖς ὕψεσιν· καὶ γεγονὸς ἂν εἴη τὸ ἐπίταγμα. εἰ δὲ μὴ ἡ βάσις ἢ διδομένη, ἀλλὰ ὁ ἄξων, τῷ αὐτῷ λόγῳ πορισθέντος τοῦ ΦΥ γενήσεται τὰ τῆς προτάσεως.

## Εἰς τὴν σύνθεσιν τοῦ α'.

Τούτου ληφθέντος ἐπεὶ δι' ἀναλύσεως αὐτῷ προέβη τὰ τοῦ προβλήματος, ληξάσης τῆς ἀναλύσεως εἰς τὸ δεῖν δύο δοθεισῶν δύο μέσας ἀνάλογον προσευρεῖν ἐν συνεχεῖ ἀναλογίᾳ φησὶν ἐν τῇ συνθέσει· εὑρήσθωσαν.

lindrus cylindro [Eucl. XII, 11]. sed cylindrus basim habens circulum $ZH$, altitudinem autem $\Theta K$, triplo maior est cono eandem basim et eandem altitudinem habenti [Eucl. XII, 10]; quare etiam cylindrus basim habens circulum $\Xi O$, altitudinem autem rectae $\Theta K$ aequalem, dimidia parte maior est cono dato.

sin oportet neque axem neque basim eandem esse, problema rursus duobus modis resoluetur; cylindrus enim, qui inuenitur, aut basim aut axem dato aequalem habebit. prius enim basis data sit, uelut circulus $\Xi O$, propositumque sit, ut inueniamus cylindrum, cuius basis sit $\Xi O$, dimidia parte maiorem dato cono uel cylindro. sumatur, ut supra [p. 50] dictum est, cylindrus dimidia parte maior dato cono uel cylindro basim habens eandem, quam datus, et sit $\Phi\Upsilon$, fiatque $\Xi O^2 : T\Upsilon^2 =$ altitudo cylindri $\Phi\Upsilon : P\Sigma$. cylindrus igitur basim habens $\Xi O$ altitudinemque $P\Sigma$ aequalis erit cylindro $\Phi\Upsilon$; nam bases in contraria sunt proportione altitudinum [Eucl. XII, 15]; et factum est, quod iussum erat. sin non basis, sed axis datus est, fiet id, quod propositum est, eadem ratione inuento cylindro $\Phi\Upsilon$.




## In compositionem prop. I.

Postquam hoc adsumpto problema per analysim resoluit, cum analysis ad duas medias proportionales inter duas rectas datas inueniendas in proportione continua descenderit, in compositione: inueniantur, inquit [p. 172, 12]. sed

---

**1** καὶ (pr.)] comp. A, om. BE. **2** τὸν] EG, την A. **20** $P\Sigma$] B, $PO$ A. **22** τοῖς] G, ταις A. **24** ποριѳθέντος] H, ποριθεντος A. **27** αὐτῷ] scripsi, αυτου AB. Fig. p. 54 om. B et spat. relicto A, in fig. p. 55 cylindrum alterum om. AB

τὴν δὲ εὕρεσιν τούτων ὑπ' αὐτοῦ μὲν γεγραμμένην οὐδὲ ὅλως εὑρίσκομεν, πολλῶν δὲ κλεινῶν ἀνδρῶν γραφαῖς ἐντετυχήκαμεν τὸ πρόβλημα τοῦτο ἐπαγγελλομέναις, ὧν τὴν Εὐδόξου τοῦ Κνιδίου παρητησάμεθα γραφήν, ἐπειδή φησιν μὲν ἐν προοιμίοις διὰ καμπύλων γραμμῶν αὐτὴν ηὑρηκέναι, ἐν δὲ τῇ ἀποδείξει πρὸς τῷ μὴ κεχρῆσθαι καμπύλαις γραμμαῖς ἀλλὰ καὶ διηρημένην ἀναλογίαν εὑρὼν ὡς συνεχεῖ χρῆται· ὅπερ ἦν ἄτοπον ὑπονοῆσαι, τί λέγω περὶ Εὐδόξου, ἀλλὰ περὶ τῶν καὶ μετρίως περὶ γεωμετρίαν ἀνεστραμμένων. ἵνα δὴ ἡ τῶν εἰς ἡμᾶς ἐληλυθότων ἀνδρῶν ἔννοια ἐμφανὴς γένηται, ὁ ἑκάστου τῆς εὑρέσεως τρόπος καὶ ἐνταῦθα γραφήσεται.

## Ὡς Πλάτων.

*Δύο δοθεισῶν εὐθειῶν δύο μέσας ἀνάλογον εὑρεῖν ἐν συνεχεῖ ἀναλογίᾳ.*

ἔστωσαν αἱ δοθεῖσαι δύο εὐθεῖαι αἱ *ΑΒΓ* πρὸς ὀρθὰς ἀλλήλαις, ὧν δεῖ δύο μέσας ἀνάλογον εὑρεῖν. ἐκβεβλήσθωσαν ἐπ' εὐθείας ἐπὶ τὰ *Δ*, *Ε*, καὶ κατεσκευάσθω ὀρθὴ γωνία ἡ ὑπὸ *ΖΗΘ*, καὶ ἐν ἑνὶ σκέλει, οἷον τῷ *ΖΗ*, κινείσθω κανὼν ὁ *ΚΛ* ἐν σωληνί τινι ὄντι ἐν τῷ *ΖΗ* οὕτως, ὥστε παράλληλον αὐτὸν διαμένειν τῷ *ΗΘ*. ἔσται δὲ τοῦτο, ἐὰν καὶ ἕτερον κανόνιον νοηθῇ συμφυὲς τῷ *ΘΗ*, παράλληλον δὲ τῷ *ΖΗ*, ὡς τὸ *ΘΜ*· σωληνισθεισῶν γὰρ τῶν ἄνωθεν ἐπιφανειῶν τῶν *ΖΗ*, *ΘΜ* σωλῆσιν πελεκινοειδέσιν καὶ




4 *γραφήν*] B, *γραφ*⁷ A, *γράφειν* G. 5 *αὐτὴν*] h. e. *τὴν εὕρεσιν* lin. 1; melius scripsisset *αὐτό*. 6 *τῷ*] scripsi, *το* A.

quomodo inueniantur, ab ipso omnino non explicatum inuenimus, sed in multorum et clarorum uirorum scripta incidimus hoc problema profitentia, quorum Eudoxi Cnidii scriptum negleximus, quoniam in prooemio dicit, se id per curuas lineas inuenisse, in demonstratione uero, praeterquam quod curuis lineis usus non est, etiam proportione discreta, quam inuenit, tamquam continua utitur; quod ineptum erat non modo de Eudoxo statuere, sed de quouis in geometria uel modice uersato.[1]) uerum ut eorum uirorum mens adpareat, qui quidem ad nos peruenerint, singulorum inueniendi ratio hic quoque perscribetur.

## Ut Plato.

Datis duabus lineis rectis duas medias proportionales inuenire in proportione continua.

sint duae rectae datae $AB$, $B\Gamma$ inter se perpendiculares, inter quas duas medias proportionales inueniri oporteat. producantur in directum ad $\Delta$, $E$, angulusque rectus $ZH\Theta$ construatur, et in utrouis crure, uelut $ZH$, moueatur regula $K\Lambda$ in stria aliqua in $ZH$ sita, ita ut rectae $H\Theta$ parallela maneat. hoc autem fiet, si aliam quoque regulam cum recta $\Theta H$ coniunctam, rectae autem $ZH$ parallelam, finxerimus, uelut $\Theta M$; striatis enim superficiebus summis regularum $ZH$, $\Theta M$ striis similibus securium[2]) et in strias illas clauis regulae $K\Lambda$ immissis motus




1) Sententiam huius loci perspexit Wilamowitz, Götting. Nachr. 1894 p. 2 not. 3; de re cfr. Künssberg, Eudoxos von Knidos, II p. 51 sq.

2) Hoc est, ni fallor, stria ita comparata, ut sectio transuersa eam habeat speciem, quam adposui; ita clauus e stria non emouetur.

7 *ἀλλὰ*] *κτλ.* cfr. NJS. XI p. 366. 10 *δὴ*] A, autem B. 27 *τὸ*] *Basil.*, *τω* A. De fig. u. NJS. XI p. 378.

*τύλων συμφυῶν γενομένων τῷ ΚΛ εἰς τοὺς εἰρημένους σωλῆνας ἔσται ἡ κίνησις τοῦ ΚΛ παράλληλος ἀεὶ τῷ ΗΘ. τούτων οὖν κατεσκευασμένων κείσθω τὸ ἓν σκέλος τῆς γωνίας τυχὸν τὸ ΗΘ ψαῦον τοῦ Γ, καὶ μεταφερέσθω ἥ τε γωνία καὶ ὁ ΚΛ κανὼν ἐπὶ τοσοῦτον, ἄχρις ἂν τὸ μὲν Η σημεῖον ἐπὶ τῆς ΒΔ εὐθείας ᾖ τοῦ ΗΘ σκέλους ψαύοντος τοῦ Γ, ὁ δὲ ΚΛ κανὼν κατὰ μὲν τὸ Κ ψαύῃ τῆς ΒΕ εὐθείας, κατὰ δὲ τὸ λοιπὸν μέρος τοῦ Λ, ὥστε εἶναι, ὡς ἔχει ἐπὶ τῆς καταγραφῆς, τὴν μὲν ὀρθὴν γωνίαν θέσιν ἔχουσαν ὡς τὴν ὑπὸ ΓΔΕ, τὸν δὲ ΚΛ κανόνα θέσιν ἔχειν, οἵαν ἔχει ἡ ΕΛ· τούτων γὰρ γενομένων ἔσται τὸ προκείμενον. ὀρθῶν γὰρ οὐσῶν τῶν πρὸς τοῖς Δ, Ε ἔστιν, ὡς ἡ ΓΒ πρὸς ΒΔ, ἡ ΔΒ πρὸς ΒΕ καὶ ἡ ΕΒ πρὸς ΒΛ.*

## Ὡς Ἥρων ἐν Μηχανικαῖς εἰσαγωγαῖς καὶ ἐν τοῖς Βελοποιικοῖς.

*Ἔστωσαν αἱ δοθεῖσαι δύο εὐθεῖαι αἱ ΑΒ, ΒΓ, ὧν δεῖ δύο μέσας ἀνάλογον εὑρεῖν. κείσθωσαν, ὥστε ὀρθὴν*




*γωνίαν περιέχειν τὴν πρὸς τῷ Β, καὶ συμπεπληρώσθω τὸ ΒΔ παραλληλόγραμμον, καὶ ἐπεζεύχθωσαν αἱ ΑΓ, ΒΔ [φανερὸν δή, ὅτι ἴσαι οὖσαι δίχα τέμνουσιν ἀλλήλας· ὁ γὰρ περὶ μίαν αὐτῶν γραφόμενος κύκλος ἥξει καὶ*

---

**2** τοῦ ΚΛ] *Basil., kl* B, των ΚΛ A. **3** τούτων] B, των A. οὖν] sic B. **11** γεναμένων] A; γενομένων H, e corr. G. **13** Δ] e corr. BG, Λ A. **18** ὥστε] EG, ω ωστε A, ∧ἄνω ὥστε H. **25** αὐτῶν] GH, e corr. B; αυτον AB.

regulae $K\Delta$ semper rectae $H\Theta$ parallelus erit. his igitur comparatis utrumuis crus anguli, uelut $H\Theta$, ponatur $\Gamma$ punctum contingens, et moueatur angulus regulaque $K\Delta$ usque eo, dum punctum $H$ in rectam $B\Delta$ cadat, cum crus $H\Theta$ punctum $\Gamma$ tangat, regulaque $K\Delta$ in puncto $K$ rectam $BE$ tangat, in altera autem parte punctum $\Delta$, ita ut, sicut in figura est, angulus rectus ita positus sit ut $\angle\Gamma\Delta E$, regula autem $K\Delta$ ut $E\Delta$ recta; his enim ita comparatis factum erit propositum. nam cum anguli ad $\Delta$, $E$ positi recti sint, erit $\Gamma B : B\Delta = \Delta B : BE = EB : B\Delta$ [Eucl. VI, 8 coroll.].

## Ut Hero in Mechanicis institutionibus et Belopoeicis.[1])

Datae duae rectae, inter quas duas medias proportionales inueniri oporteat, sint $AB$, $B\Gamma$. ponantur ita, ut angulum rectum apud $B$ comprehendant, et expleatur parallelogrammum $B\Delta$, ducantur autem $A\Gamma$, $B\Delta$. manifestum est igitur, eas aequales esse et inter se in binas partes aequales secare;

1) Sumpsit Eutocius ex Belopoeicis (Wescher, Poliorcétique des Grecs p. 117 sq.), ex Mechanicis Pappus III, 25 p. 62 sq. nonnullis mutatis. in loco Belopoeicorum praeter interpretamenta ipsius Eutocii, quae uncis inclusi, haec est discrepantia scripturae: 17 *δύο δοθεῖσαι*, ib. *ΒΓ πρὸς ὀρθὰς κείμεναι*, 18 *εὑρεῖν*] *λαβεῖν*, 18 *κείσθωσαν* — 20 *τῷ Β*] om., 21 *ΒΔ*] *ΑΒΓΔ*, p. 60, 2 *καὶ ἐκβεβλ.*, 3 *νοείσθω* — 7] *παρακείσθω παρὰ τὸ Β σημεῖον κανὼν τέμνων τὰς ἐκβαλλομένας εὐθείας, καὶ κινείσθω ὁ εἰρημένος κανὼν περὶ τὸ Β σημεῖον, ἄχρις ἂν αἱ ἀπὸ τοῦ Ε ἐπὶ τὰς τομὰς ἐπιζευγνύμεναι ἴσαι ἀλλήλαις ὦσι. καὶ ἔστω ὁ μὲν κανὼν θέσιν εἰληφώς, οἵαν ἔχει ἡ ΖΒΗ εὐθεῖα, αἱ δὲ ἄλλαι δύο εὐθεῖαι αἱ ΕΖ, ΕΗ. λέγω, ὅτι τῶν ΑΒ, ΒΓ εὐθειῶν αἱ μέσαι ἀνάλογόν εἰσιν αἱ ΑΖ, ΓΗ, καὶ πρώτης οὔσης τῆς ΑΒ δευτέρα μὲν ἔσται ἡ ΑΖ, τρίτη δὲ ἡ ΓΗ, τετάρτη δὲ ἡ ΒΓ. ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ΑΕ τῇ ΕΔ καὶ διῆκται ἡ ΕΖ(?). In figura rectae $E\Theta$, $EI$ omissae et $\Delta$, $\Gamma$ permutatae, ut per totam demonstrationem. P. 60, 15 *ἴσον ἐστὶ*, ib. *τοῦ ΕΖ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ*, 17 *ΑΕ τῇ ΕΓ*, 18 *ΕΖ τῇ ΕΗ*, ib. *ἔσται ἄρα καὶ τὸ ὑπὸ ΔΖΑ ἴσον τῷ*, 20—21 *ὡς ἄρα ἡ ΗΔ πρὸς ΔΖ οὕτως ἐστὶν ἡ ΑΖ πρὸς ΓΗ*, 22—23 *ΗΔ πρὸς ΔΖ, ἥ τε ΑΒ πρὸς ΑΖ καὶ ἡ ΖΑ πρὸς ΓΗ καὶ ἡ ΗΓ πρὸς ΓΒ*, 24—25 *ἔσται ἄρα καὶ ὡς ἡ ΒΑ πρὸς ΑΖ οὕτως καὶ*, 25 *ΑΗ* — *ἡ ΓΖ*] *ΗΓ*, 26 *δύο μέσαι*, ib. *ΑΖ, ΓΗ.*

διὰ τῶν περάτων τῆς ἑτέρας διὰ τὸ ὀρθογώνιον εἶναι τὸ παραλληλόγραμμον]. ἐκβεβλήσθωσαν αἱ $\Delta\Gamma$, $\Delta A$ [ἐπὶ τὰ $Z, H$], καὶ νοείσθω κανόνιον ὡς τὸ $ZBH$ κινούμενον περί τινα τύλον μένοντα πρὸς τῷ $B$ καὶ κινείσθω, ἕως ἀποτέμοις ἴσας τὰς ἀπὸ τοῦ $E$, τουτέστι τὰς $EH$, $EZ$. καὶ νοείσθω ἀποτεμὸν καὶ θέσιν ἔχον τὴν $ZBH$ ἴσων, ὡς εἴρηται, γινομένων τῶν $EH$, $EZ$ [ἤχθω δὴ ἀπὸ τοῦ $E$ ἐπὶ τὴν $\Gamma\Delta$ κάθετος ἡ $E\Theta$· δίχα δὴ τέμνει δηλονότι τὴν $\Gamma\Delta$. ἐπεὶ οὖν δίχα τέτμηται ἡ $\Gamma\Delta$ κατὰ τὸ $\Theta$, καὶ πρόσκειται ἡ $\Gamma Z$, τὸ ὑπὸ $\Delta Z\Gamma$ μετὰ τοῦ ἀπὸ $\Gamma\Theta$ ἴσον ἐστὶν τῷ ἀπὸ $\Theta Z$. κοινὸν προσκείσθω τὸ ἀπὸ $E\Theta$· τὸ ἄρα ὑπὸ $\Delta Z\Gamma$ μετὰ τῶν ἀπὸ $\Gamma\Theta$, $\Theta E$ ἴσον ἐστὶ τοῖς ἀπὸ $Z\Theta$, $\Theta E$. καί ἐστι τοῖς μὲν ἀπὸ $\Gamma\Theta$, $\Theta E$ ἴσον τὸ ἀπὸ $\Gamma E$, τοῖς δὲ ἀπὸ $Z\Theta$, $\Theta E$ ἴσον τὸ ἀπὸ $EZ$]· τὸ ἄρα ὑπὸ $\Delta Z\Gamma$ μετὰ τοῦ ἀπὸ $\Gamma E$ ἴσον τῷ ἀπὸ $EZ$. ὁμοίως δὴ δειχθήσεται, ὅτι καὶ τὸ ὑπὸ $\Delta HA$ μετὰ τοῦ ἀπὸ $AE$ ἴσον ἐστὶ τῷ ἀπὸ $EH$. καί ἐστιν ἴση ἡ μὲν $AE$ τῇ $E\Gamma$, ἡ δὲ $HE$ τῇ $EZ$· καὶ τὸ ὑπὸ $\Delta Z\Gamma$ ἄρα ἴσον ἐστὶν τῷ ὑπὸ $\Delta HA$ [ἐὰν δὲ τὸ ὑπὸ τῶν ἄκρων ἴσον ᾖ τῷ ὑπὸ τῶν μέσων, αἱ τέσσαρες εὐθεῖαι ἀνάλογόν εἰσιν]· ἔστιν ἄρα, ὡς ἡ $Z\Delta$ πρὸς $\Delta H$, οὕτως ἡ $AH$ πρὸς $\Gamma Z$. ἀλλ' ὡς ἡ $Z\Delta$ πρὸς $\Delta H$, οὕτως ἡ $Z\Gamma$ πρὸς $\Gamma B$ καὶ ἡ $BA$ πρὸς $AH$ [τριγώνου γὰρ τοῦ $Z\Delta H$ παρὰ μίαν μὲν τὴν $\Delta H$ ἦκται ἡ $\Gamma B$, παρὰ δὲ τὴν $\Delta Z$ ἡ $AB$]· ὡς ἄρα ἡ $BA$ πρὸς $AH$, οὕτως ἡ $AH$ πρὸς $\Gamma Z$ καὶ ἡ $\Gamma Z$ πρὸς $\Gamma B$. τῶν ἄρα $AB$, $B\Gamma$ μέσαι ἀνάλογόν εἰσιν αἱ $AH$, $\Gamma Z$ [ὅπερ ἔδει εὑρεῖν].

## Ὡς Φίλων ὁ Βυζάντιος.

Ἔστωσαν αἱ δοθεῖσαι δύο εὐθεῖαι αἱ $AB$, $B\Gamma$, ὧν δεῖ δύο μέσας ἀνάλογον εὑρεῖν. κείσθωσαν, ὥστε ὀρ-

nam circulus circum unam descriptus idem per terminos alterius ueniet, quia parallelogrammum rectangulum est [Eucl. III, 22]. producantur $\Delta\Gamma$, $\Delta A$ ad $Z$, $H$, ac fingatur regula, uelut $ZBH$, circum clauum in $B$ manentem mota et moueatur usque eo, dum rectas ab $E$ ductas, h. e. $EH$, $EZ$, aequales abscindas. fingatur abscindens et ita posita, ut $ZBH$, ita ut sit, sicuti diximus, $EH = EZ$. ducatur igitur ab $E$ ad $\Gamma\Delta$ perpendicularis $E\Theta$; itaque manifesto rectam $\Gamma\Delta$ in duas partes aequales diuidit. iam quoniam $\Gamma\Delta$ in $\Theta$ in duas partes aequales diuiditur, et adiecta est $\Gamma Z$, erit

$$\Delta Z \times Z\Gamma + \Gamma\Theta^2 = \Theta Z^2 \text{ [Eucl. II, 6]}.$$

commune addatur $E\Theta^2$; itaque

$$\Delta Z \times Z\Gamma + \Gamma\Theta^2 + \Theta E^2 = Z\Theta^2 + \Theta E^2.$$

et $\Gamma\Theta^2 + \Theta E^2 = \Gamma E^2$, $Z\Theta^2 + \Theta E^2 = EZ^2$ [Eucl. I, 47]; quare $\Delta Z \times Z\Gamma + \Gamma E^2 = EZ^2$. eodem modo demonstrabimus, esse etiam $\Delta H \times HA + AE^2 = EH^2$. et

$$AE = E\Gamma,\ HE = EZ;$$

quare etiam $\Delta Z \times Z\Gamma = \Delta H \times HA$. et ubi rectangulum terminis extremis comprehensum aequale est rectangulo mediis comprehenso, quattuor rectae proportionales sunt [Eucl. VI, 16]; erit igitur $Z\Delta : \Delta H = AH : \Gamma Z$. sed

$$Z\Delta : \Delta H = Z\Gamma : \Gamma B = B\Delta : AH;$$

nam in triangulo $Z\Delta H$ lateri $\Delta H$ parallela ducta est $\Gamma B$, lateri $\Delta Z$ parallela $AB$; itaque $BA : AH = AH : \Gamma Z = \Gamma Z : \Gamma B$. ergo inter $AB$, $B\Gamma$ mediae proportionales sunt $AH$, $\Gamma Z$; quod oportebat inuenire.

## Ut Philo Byzantinus.[1])

Sint duae rectae datae $AB$, $B\Gamma$, inter quas duas medias proportionales inueniri oporteat. ponantur ita, ut angulum

1) Philo hanc methodum in libro primo Mechanicorum exposuerat, qui ad nos non peruenit; unde quasi summam dedit ibidem IV 7 (ed. R. Schoene): *κατὰ τὸν τοῦ κύβου διπλασιασμόν, ὡς ἐν τῷ πρώτῳ βιβλίῳ δεδηλώκαμεν· καὶ νῦν δὲ οὐκ ὀκνήσομεν ὑπογράψαι κτλ.*

5 ἀποτέμοις] A, *ἀποτέμοι εἰς* G, secet B. *τὰς* (alt.)] B, *τα* A. 9 *τέτμηται*] A, secatur B, *τεμνηται* D.

*θὴν γωνίαν περιέχειν τὴν πρὸς τῷ B, καὶ ἐπιζευχθείσης τῆς ΑΓ γεγράφθω περὶ αὐτὴν ἡμικύκλιον τὸ ΑΒΕΓ, καὶ πρὸς ὀρθὰς ἤχθωσαν τῇ μὲν ΒΑ ἡ ΑΔ, τῇ δὲ ΒΓ ἡ ΓΖ, καὶ παρακείσθω κανὼν κινούμενος πρὸς τῷ B τέμνων τὰς ΑΔ, ΓΖ καὶ κεκινήσθω περὶ τὸ B, ἄχρις ἂν ἡ ἀπὸ τοῦ B ἐπὶ τὸ Δ ἴση γένηται τῇ ἀπὸ τοῦ E ἐπὶ τὸ Z, τουτέστι τῇ μεταξὺ τῆς τε περιφερείας τοῦ κύκλου καὶ τῆς ΓΖ. νενοήσθω οὖν ἔχον τὸ κανόνιον θέσιν, οἵαν ἔχει ἡ ΔΒΕΖ, ἴσης οὔσης, ὡς εἴρηται, τῆς ΔΒ τῇ ΕΖ. λέγω, ὅτι αἱ ΑΔ, ΓΖ μέσαι ἀνάλογόν εἰσιν τῶν ΑΒ, ΒΓ.*

*νενοήσθωσαν γὰρ ἐκβεβλημέναι αἱ ΔΑ, ΖΓ καὶ συμπίπτουσαι κατὰ τὸ Θ· φανερὸν δή, ὅτι παραλλήλων οὐσῶν τῶν ΒΑ, ΖΘ ἡ πρὸς τῷ Θ γωνία ὀρθή ἐστιν, καὶ ὁ ΑΕΓ κύκλος ἀναπληρούμενος ἥξει καὶ διὰ τοῦ Θ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΔΒ τῇ ΕΖ, καὶ τὸ ὑπὸ ΕΔΒ ἄρα ἴσον ἐστὶ τῷ ὑπὸ ΒΖΕ. ἀλλὰ τὸ μὲν ὑπὸ ΕΔΒ ἴσον ἐστὶ τῷ ὑπὸ ΘΔΑ· ἑκάτερον γὰρ ἴσον ἐστὶν τῷ ἀπὸ τῆς ἐφαπτομένης ἀπὸ τοῦ Δ· τὸ δὲ ὑπὸ ΒΖΕ ἴσον τῷ ὑπὸ ΘΖΓ· ἑκάτερον γὰρ ὁμοίως ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ἐφαπτομένης ἀπὸ τοῦ Ζ· ὥστε καὶ τὸ ὑπὸ ΘΔΑ ἴσον ἐστὶ τῷ ὑπὸ ΘΖΓ, καὶ διὰ τοῦτό ἐστιν, ὡς ἡ ΔΘ πρὸς ΘΖ, οὕτως ἡ ΓΖ πρὸς ΔΑ. ἀλλ' ὡς ἡ ΘΔ πρὸς ΘΖ, οὕτως ἥ τε ΒΓ πρὸς ΓΖ καὶ ἡ ΔΑ πρὸς ΑΒ· τριγώνου γὰρ τοῦ ΔΘΖ παρὰ μὲν τὴν ΔΘ ἦκται ἡ ΒΓ, παρὰ δὲ τὴν ΘΖ ἡ ΒΑ· ἔστιν ἄρα, ὡς ἡ ΒΓ πρὸς ΓΖ, ἡ ΓΖ πρὸς ΔΑ καὶ ἡ ΔΑ πρὸς ΑΒ· ὅπερ προέκειτο δεῖξαι.*

*Ἰστέον δέ, ὅτι ἡ τοιαύτη κατασκευὴ σχεδὸν ἡ αὐτή*

---

5 περὶ] scripsi, περι μεν AB. 12 ΖΓ] $\overline{gz}$ B. 14 τῷ] G, το A.

rectum ad $B$ comprehendant, ductaque recta $A\Gamma$ circum eam describatur semicirculus $AB E\Gamma$, et ducantur perpendiculares $A\Delta$ ad $BA$, $\Gamma Z$ ad $B\Gamma$, adponatur autem regula in $B$ mota rectas $A\Delta$, $\Gamma Z$ secans, et circum $B$ moueatur, dum recta a $B$ ad $\Delta$ ducta aequalis fiat rectae ab $E$ ad Z ductae, h. e. rectae inter ambitum circuli rectamque $\Gamma Z$ positae. fingatur igitur regula posita ut $\Delta BEZ$,




ita ut sit $\Delta B = EZ$, uti dictum est. dico, rectas $A\Delta$, $\Gamma Z$ medias proportionales esse inter $AB$, $B\Gamma$.

rant Delios quosdam ex oraculo aram aliquam conduplicare conatos in eandem haesitationem incidisse et legatis missis a geometris in Academia apud Platonem degentibus petisse, ut sibi inuenirent, quod quaererent. his autem industrie rem adgressis et inter duas datas rectas duas medias sumere conantibus Archytas Tarentinus dicitur per semicylindros inuenisse, Eudoxus autem per curuas lineas, quae uocantur. omnibus uero adcidit, ut rem demonstrando tractarent, sed eam efficere et ad usum adcommodare non possent praeter Menaechmum paullulum et id operose. a nobis autem habilis per instrumenta methodus inuenta est, qua inter duas rectas datas non modo duas medias sumamus, sed quotcunque quis uoluerit. hoc autem inuento omnino quoduis datum solidum parallelogrammis comprehensum in cubum mutare poterimus uel ex alia in aliam formam conuertere et simile reddere et amplificare similitudinem seruantes, ut etiam aras et aedes; et mensuras quoque humidorum siccorumque, uelut amphoram uel medimnum, in cubum mutare poterimus et per huius latus uasa illas capientia metiri, quantum capiant. inuentum autem meum iis quoque utile erit, qui catapultas ballistasque augere uolunt; nam omnia proportionaliter augenda sunt, et crassitudines et magnitudines et foramina et choinicides et funes inserti, si iactum proportionaliter augeri uoluerimus, haec autem fieri nequeunt, nisi mediis inuentis. demonstrationem uero constructionemque illius instrumenti infra tibi exposui.

datae sint duae rectae inaequales, inter quas duas medias proportionales inueniri oporteat in proportione continua, $AE$,

---

**2** *διαπεμψαμένους*] $D^2$, *διαμεμψαμενους* AB. **5** *ἑαυτοὺς*] se ipsos B, *εαυτους* A. **10** *βραχύ τι*] *Basil.*, *βραχυτητι* AB. *τὸν Μέναιχμον*] scripsi, *του Μενεχμου* AB. **11** *τις*] BG, *της* comp. A. **18** *δὲ*] A, in ras. B; fort. delendum. **19** *ἤ*] *Wurmius*, om. AB. *μέδιμνον*] e corr. E, *μεδιμνων* AB. **22** *καὶ*] $AB^2$, om. B (post *ἐπαύξειν* eras. et). **26** *μέλλει*] E, *μελει* A, debeant B. *βολὴ*] *Torellius*, om. B, *βουλη* $AB^2$ (et si volueris). **28** *ὀργάνου*] $AB^2$, om. B.

κείσθω ἐπί τινος εὐθείας τῆς *EΘ* πρὸς ὀρθὰς ἡ *AE*, καὶ ἐπὶ τῆς *EΘ* τρία συνεστάτω παραλληλόγραμμα ἐφεξῆς τὰ *AZ*, *ZI*, *IΘ*, καὶ ἤχθωσαν διάμετροι ἐν αὐτοῖς αἱ *AZ*, *ΛH*, *IΘ*· ἔσονται δὴ αὗται παράλληλοι. μέ-
5 νοντος δὴ τοῦ μέσου παραλληλογράμμου τοῦ *ZI* συνωσθήτω τὸ μὲν *AZ* ἐπάνω τοῦ μέσου, τὸ δὲ *IΘ* ὑποκάτω, καθάπερ ἐπὶ τοῦ δευτέρου σχήματος, ἕως οὗ γένηται τὰ *A*, *B*, *Γ*, *Δ* κατ' εὐθεῖαν, καὶ διήχθω διὰ τῶν *A*, *B*, *Γ*, *Δ* σημείων εὐθεῖα καὶ συμπιπτέτω τῇ *EΘ* ἐκ-
10 βληθείσῃ κατὰ τὸ *K*· ἔσται δή, ὡς ἡ *AK* πρὸς *KB*, ἐν μὲν ταῖς *AE*, *ZB* παραλλήλοις ἡ *EK* πρὸς *KZ*, ἐν δὲ ταῖς *AZ*, *BH* παραλλήλοις ἡ *ZK* πρὸς *KH*. ὡς ἄρα ἡ *AK* πρὸς *KB*, ἡ *EK* πρὸς *KZ* καὶ ἡ *KZ* πρὸς *KH*. πάλιν, ἐπεί ἐστιν, ὡς ἡ *BK* πρὸς *KΓ*, ἐν μὲν ταῖς *BZ*,
15 *ΓH* παραλλήλοις ἡ *ZK* πρὸς *KH*, ἐν δὲ ταῖς *BH*, *ΓΘ* παραλλήλοις ἡ *HK* πρὸς *KΘ*, ὡς ἄρα ἡ *BK* πρὸς *KΓ*, ἡ *ZK* πρὸς *KH* καὶ ἡ *HK* πρὸς *KΘ*. ἀλλ' ὡς ἡ *ZK* πρὸς *KH*, ἡ *EK* πρὸς *KZ*· καὶ ὡς ἄρα ἡ *EK* πρὸς *KZ*, ἡ *ZK* πρὸς *KH* καὶ ἡ *HK* πρὸς *KΘ*. ἀλλ' ὡς ἡ *EK*
20 πρὸς *KZ*, ἡ *AE* πρὸς *BZ*, ὡς δὲ ἡ *ZK* πρὸς *KH*, ἡ *BZ* πρὸς *ΓH*, ὡς δὲ ἡ *HK* πρὸς *KΘ*, ἡ *ΓH* πρὸς *ΔΘ*· καὶ ὡς ἄρα ἡ *AE* πρὸς *BZ*, ἡ *BZ* πρὸς *ΓH* καὶ ἡ *ΓH* πρὸς *ΔΘ*. ηὕρηνται ἄρα τῶν *AE*, *ΔΘ* δύο μέσαι ἥ τε *BZ* καὶ ἡ *ΓH*.

25 ταῦτα οὖν ἐπὶ τῶν γεωμετρουμένων ἐπιφανειῶν ἀποδέδεικται· ἵνα δὲ καὶ ὀργανικῶς δυνώμεθα τὰς δύο μέσας λαμβάνειν, διαπήγνυται πλινθίον ξύλινον ἢ ἐλεφάντινον ἢ χαλκοῦν ἔχον τρεῖς πινακίσκους ἴσους ὡς λεπτο-

1 *τινος — AE*] A, quandam scilicet et rectam (ad rectos ins. $B^2$) que *ae* (uel *de*) B. 13 *KH*] B, *ZH* A. 16 *HK*] B, *ZK* A. 21 *ΓH* (alt.)] B, *KH* A. 28 *πινακίσκους*] H, *πεινακιστους* D, *πυνακίστας* E; *πεινακισσους* G, mg.

$\Delta\Theta$, et in recta aliqua $E\Theta$ perpendicularis ponatur $\Delta E$, et in $E\Theta$ tria deinceps parallelogramma ⟨aequalia⟩ construantur $\Delta Z$, $ZI$, $I\Theta$, in iisque diametri ducantur $\Delta Z$, $\Delta H$, $I\Theta$; hae igitur parallelae erunt. iam manente parallelogrammo




medio $ZI$ inter se adpropinquent $\Delta Z$ supra medium, $I\Theta$ infra, ut in figura secunda [p. 94], dum puncta $A$, $B$, $\Gamma$, $\Delta$ in eadem recta sint, per $A$, $B$, $\Gamma$, $\Delta$ autem puncta ducatur recta et cum $E\Theta$ producta in $K$ concurrat; erit igitur

$$AK : KB = EK : KZ$$

in parallelis $\Delta E$, $ZB$, et $AK : KB = ZK : KH$ in parallelis $\Delta Z$, $BH$. itaque $AK : KB = EK : KZ = KZ : KH$. rursus, quoniam est $BK : K\Gamma = ZK : KH$ in parallelis $BZ$, $\Gamma H$, et $BK : K\Gamma = HK : K\Theta$ in parallelis $BH$, $\Gamma\Theta$, erit

$$BK : K\Gamma = ZK : KH = HK : K\Theta.$$

sed $ZK : KH = EK : KZ$; quare etiam

$$EK : KZ = ZK : KH = HK : K\Theta.$$

uerum $EK : KZ = \Delta E : BZ$, $ZK : KH = BZ : \Gamma H$,

$$HK : K\Theta = \Gamma H : \Delta\Theta;$$

quare etiam $\Delta E : BZ = BZ : \Gamma H = \Gamma H : \Delta\Theta$. ergo inter $\Delta E$, $\Delta\Theta$ duae mediae inuentae sunt $BZ$ et $\Gamma H$.

haec igitur in superficiebus geometricis demonstrata sunt; sed ut per instrumenta etiam duas medias sumere possimus,

---

⟨πει⟩νακισους ⟨ἦν⟩ ἐν τῷ ἀντιγράφῳ τάχα δὲ ⟨πι⟩νακίσκους ⟨λε⟩κτέον ὡς ⟨κάτ⟩ω δεδήλωται. ὡς] AB², et B.

τάτους, ὧν ὁ μὲν μέσος ἐνήρμοσται, οἱ δὲ δύο ἐπωστοί εἰσιν ἐν χολέδραις, τοῖς δὲ μεγέθεσιν καὶ ταῖς συμμετρίαις ὡς ἕκαστοι ἑαυτοὺς πείθουσιν· τὰ μὲν γὰρ τῆς ἀποδείξεως ὡσαύτως συντελεῖται· πρὸς δὲ τὸ ἀκριβέστερον λαμβάνεσθαι τὰς γραμμὰς φιλοτεχνητέον, ἵνα ἐν τῷ συνάγεσθαι τοὺς πινακίσκους παράλληλα διαμένῃ πάντα καὶ ἄσχαστα καὶ ὁμαλῶς συναπτόμενα ἀλλήλοις.

ἐν δὲ τῷ ἀναθήματι τὸ μὲν ὀργανικὸν χαλκοῦν ἐστιν καὶ καθήρμοσται ὑπ' αὐτὴν τὴν στεφάνην τῆς στήλης προσμεμολυβδοχοημένον, ὑπ' αὐτοῦ δὲ ἡ ἀπόδειξις συντομώτερον φραζομένη καὶ τὸ σχῆμα, μετ' αὐτὸ δὲ ἐπίγραμμα. ὑπογεγράφθω οὖν σοι καὶ ταῦτα, ἵνα ἔχῃς καὶ ὡς ἐν τῷ ἀναθήματι. τῶν δὲ δύο σχημάτων τὸ δεύτερον γέγραπται ἐν τῇ στήλῃ.

Δύο τῶν δοθεισῶν εὐθειῶν δύο μέσας ἀνάλογον εὑρεῖν ἐν συνεχεῖ ἀναλογίᾳ. δεδόσθωσαν αἱ $AE$, $\Delta\Theta$. συνάγω δὴ τοὺς ἐν τῷ ὀργάνῳ πίνακας, ἕως ἂν κατ' εὐθεῖαν γένηται τὰ $A$, $B$, $\Gamma$, $\Delta$ σημεῖα. νοείσθω δή, ὡς ἔχει ἐπὶ τοῦ δευτέρου σχήματος. ἔστιν ἄρα, ὡς ἡ $AK$ πρὸς $KB$, ἐν μὲν ταῖς $AE$, $BZ$ παραλλήλοις ἡ $EK$ πρὸς $KZ$, ἐν δὲ ταῖς $AZ$, $BH$ ἡ $ZK$ πρὸς $KH$· ὡς ἄρα ἡ $EK$




πρὸς $KZ$, ἡ $KZ$ πρὸς $KH$. ὡς δὲ αὗται πρὸς ἀλλήλας, ἥ τε $AE$ πρὸς $BZ$ καὶ ἡ $BZ$ πρὸς $\Gamma H$. ὡσαύτως δὲ δείξομεν, ὅτι καί, ὡς ἡ $ZB$ πρὸς $\Gamma H$, ἡ $\Gamma H$ πρὸς $\Delta\Theta$·

construatur laterculus ligneus uel eburneus uel aheneus tres tabellulas aequales complectens quam maxime exiles, quarum media adfixa sit, duae autem in strigis moueri possint, ea magnitudine eaque specie, quae cuique placuerit; nam demonstratio eadem ratione conficitur; sed quo exactius sumantur rectae, opera danda est, ut in admouendis tabellulis omnia parallela, sine hiatu aequabiliterque inter se coniuncta maneant.[1])

in dono autem uotiuo instrumentum aheneum est et infra ipsam columnae coronam positum est plumbo adfixum, infra id autem demonstratio est breuius exposita cum figura, deinde autem epigramma. iam haec quoque tibi perscribantur, ut habeas etiam, quae in dono uotiuo sunt. ex duabus autem figuris altera in columna descripta est.

---

Inter duas rectas datas duas medias proportionales inuenire in proportione continua. datae sint $AE$, $\Delta\Theta$. admoueo igitur tabellulas instrumenti, dum puncta $A, B, \Gamma, \Delta$ in eadem recta sint. fingantur igitur esse, ut in secunda figura sunt.[2]) erit igitur $\Delta K : KB = EK : KZ$ in parallelis $AE$, $BZ$, et $\Delta K : KB = ZK : KH$ in parallelis $\Delta Z$, $BH$; quare $EK : KZ = KZ : KH$. sed

$$EK : KZ = AE : BZ = KZ : KH = BZ : \Gamma H.$$

eodem modo demonstrabimus, esse

$$ZB : \Gamma H = \Gamma H : \Delta\Theta;$$

1) Sed hoc ipsum difficillimum est; itaque Nicomedes non sine causa instrumentum Eratosthenis uituperauit (infra p. 98, 5 sq.); cfr. Sturmii interpretatio p. 110.

2) Si uerba *νοείσθω κτλ.* lin. 18 in dono uotiuo fuerunt, *δευτέρου* lin. 19 delendum; ibi enim una tantum figura erat (lin. 11, 13). sed fortasse cum Wilamowitzio l. c. p. 4 omnia haec uerba auctori epistulae tribuenda. In A fig. p. 94 semel ponitur cum fig. p. 93 coniuncta.

---

10 *προσμεμολυβδοχημένον*] *Dressler*, *προς μεμολυβδοχημενον* A. *συντομώτερον*] G, e corr. E; *συντομοτερον* A. 15 *τῶν*] del. *Wilamowitz*. 18 *ἔχει*] G, *εχη* A. Fig. bis hab. B, in priore litteras plerasque add. $B^2$. et reuera figura eadem ad p. 92, 7 ponenda erat.

*ἀνάλογον ἄρα αἱ AE, BZ, ΓH, ΔΘ. ηὕρηνται ἄρα δύο τῶν δοθεισῶν δύο μέσαι.*

*ἐὰν δὲ αἱ δοθεῖσαι μὴ ἴσαι ὦσιν ταῖς AE, ΔΘ, ποιήσαντες αὐταῖς ἀνάλογον τὰς AE, ΔΘ τούτων ληψόμεθα τὰς μέσας καὶ ἐπανοίσομεν ἐπ' ἐκείνας, καὶ ἐσόμεθα πεποιηκότες τὸ ἐπιταχθέν. ἐὰν δὲ πλείους μέσας ἐπιταχθῇ εὑρεῖν, ἀεὶ ἑνὶ πλείους πινακίσκους καταστησόμεθα ἐν τῷ ὀργανίῳ τῶν ληφθησομένων μέσων· ἡ δὲ ἀπόδειξις ἡ αὐτή·*

*Εἰ κύβον ἐξ ὀλίγου διπλήσιον, ὦγαθέ, τεύχειν*
*φράζεαι ἢ στερεὴν πᾶσαν ἐς ἄλλο φύσιν*
*εὖ μεταμορφῶσαι, τόδε τοι πάρα, κἂν σύ γε μάνδρην*
*ἢ σιρὸν ἢ κοίλου φρείατος εὐρὺ κύτος*
*τῇδ' ἀναμετρήσαιο, μέσας ὅτε τέρμασιν ἄκροις*
*συνδρομάδας δισσῶν ἐντὸς ἕλῃς κανόνων.*
*μηδὲ σύ γ' Ἀρχύτεω δυσμήχανα ἔργα κυλίνδρων*
*μηδὲ Μεναιχμείους κωνοτομεῖν τριάδας*
*διζήσῃ, μηδ' εἴ τι Θεουδέος Εὐδόξοιο*
*καμπύλον ἐγ γραμμαῖς εἶδος ἀναγράφεται.*
*τοῖσδε γὰρ ἐν πινάκεσσι μεσόγραφα μυρία τεύχοις*
*ῥεῖά κεν ἐκ παύρου πυθμένος ἀρχόμενος.*
*εὐαίων, Πτολεμαῖε, πατὴρ ὅτι παιδὶ συνηβῶν*
*πάνθ', ὅσα καὶ Μούσαις καὶ βασιλεῦσι φίλα,*
*αὐτὸς ἐδωρήσω· τὸ δ' ἐς ὕστερον, οὐράνιε Ζεῦ,*
*καὶ σκήπτρων ἐκ σῆς ἀντιάσειε χερός.*
*καὶ τὰ μὲν ὣς τελέοιτο, λέγοι δέ τις ἄνθεμα λεύσσων*
*τοῦ Κυρηναίου τοῦτ' Ἐρατοσθένεος.*

---

**7** *ἀεὶ*] *Wilamowitz*, *ει* A. *ἀεὶ ἑνὶ*] spatium reliquit B, si libet $B^2$, in mg. ras. Epigramma om. B. **10** *διπλήσιον*] cfr. Schaefer ad Gregor. Corinth. p. 527. **11** *φράζεαι*] GH$E^2$, *φραζεται* A. *ἢ*] *Jacobs*, *την* A. **13** *σιρὸν*] *Fellius*, *σειρον* A.

itaque rectae $AE$, $BZ$, $\Gamma H$, $\Delta\Theta$ proportionales sunt. ergo inter duas rectas datas duae mediae inuentae sunt.

sin rectae datae rectis $AE$, $\Delta\Theta$ aequales non sunt, rectas $AE$, $\Delta\Theta$ cum iis proportionales facientes inter has duas medias sumemus easque ad illas transferemus [cfr. p. 71 not. 1], et fecerimus, quod iussum erat. sin plures medias sumere iussi erimus, semper una plures tabellulas in instrumento inseremus, quam quot mediae sumendae sunt; et demonstratio eadem est.[1])

Si cubum paruo molimine conduplicare cogitas, amice, uel quamuis speciem solidam in aliud bene conuertere, licet tibi, et cellam uel sirum uel latam cauernam caui putei hac ratione metiri possis, ubi intra duas regulas extremis terminis ⟨cum $\Delta\Delta$⟩ concurrentes rectas medias sumpseris.[2]) neue confugeris ad Archytae inhabilia molimina cylindrorum neue ad Menaechmi lineas illas tres per sectiones conicas efficiendas, neue si qua species linearum curuarum ab Eudoxo uiro diuino construitur. his enim tabellulis sexcentas medias proportionales facillime efficies a paruo initio progrediens. felix es, Ptolemaee, quia pater cum filio iuuenescis, et ipse ei omnia donauisti, quaecunque et Musis et regibus placent; postea autem, Iuppiter optime maxime, etiam sceptrum e manu tua utinam accipiat. haec igitur ita eueniant, dicat autem aliquis hoc cernens: hoc donum uotiuum est Eratosthenis Cyrenensis.

---

1) Hoc instrumentum Eratosthenis significat Pappus III, 21 p. 54: *ἐν τῷ Ἐρατοσθένους μεσολάβῳ*. idem III, 23 p. 56—58 summam huius ipsius demonstrationis suis uerbis dedit.

2) V. Wilamowitz l. c. p. 10.

---

17 citat Proclus in Eucl. p. 111, 23. *Μεναιχμείους*] *Μεναιχμίους Proclus*, *Μενεχμειους* A. 18 *διζήσῃ*] *Wilamowitz*, *δίζησαι* A. 19 *ἐγ γραμμαῖς*] A, *ἐν γραμμαῖς* GH. 20 *γὰρ*] *Wilamowitz*, *δε* A. *πινάκεσσι*] *Fellius*, *πινακεσι* A. 24 *τὸ*] *δ Wilamowitz*. 25 *χερός*] G, *χειρος* A. 26 *λεύσσων*] *Fellius*, *λευσων* A.

*Ὡς Νικομήδης ἐν τῷ Περὶ κογχοειδῶν γραμμῶν.*

*Γράφει δὲ καὶ Νικομήδης ἐν τῷ ἐπιγεγραμμένῳ πρὸς αὐτοῦ Περὶ κογχοειδῶν συγγράμματι ὀργάνου κατασκευὴν τὴν αὐτὴν ἀποπληροῦντος χρείαν, ἐφ' ᾧ καὶ μεγάλα μὲν σεμνυνόμενος φαίνεται ὁ ἀνήρ, πολλὰ δὲ τοῖς Ἐρατοσθένους ἐπεγγελῶν εὑρήμασιν ὡς ἀμηχάνοις τε ἅμα καὶ γεωμετρικῆς ἕξεως ἐστερημένοις. τοῦ τε ἀνελλιποῦς τοίνυν τῶν περὶ τὸ πρόβλημα πεπονηκότων τῆς τε πρὸς Ἐρατοσθένη συγκρίσεως ἕνεκα καὶ αὐτὸν τοῖς ἤδη γεγραμμένοις συνάπτομεν δυνάμει γράφοντα οὕτως·*

*νοεῖν χρὴ κανόνας δύο πρὸς ὀρθὰς ἀλλήλοις συμβεβλημένους οὕτως, ὥστε μίαν ἀποσῴζειν αὐτοὺς ἐπιφάνειαν, καθάπερ εἰσὶν οἱ $AB$, $\Gamma\Delta$, ἐν δὲ τῷ $AB$ σωλῆνα πελεκινοειδῆ, εἰς ὃν χελώνιον διατρέχειν δυνήσεται, ἐν δὲ τῷ $\Gamma\Delta$ κατὰ τὸ μέρος τὸ πρὸς τῷ $\Delta$ καὶ τὴν μέσον διαιροῦσαν εὐθεῖαν τὸ πλάτος αὐτοῦ κυλίνδριον συμφυὲς τῷ κανόνι καὶ βραχὺ ὑπερέχον τῆς ἄνωθεν ἐπιφανείας αὐτοῦ τοῦ κανόνος, ἄλλον δὲ κανόνα ὡς τὸν $EZ$ μετὰ βραχύ τι διάστημα τοῦ πρὸς τῷ $Z$ πέρατος ἀνατομὴν ἔχοντα ὡς τὴν $H\Theta$ δυναμένην περιβαίνειν τῷ πρὸς τῷ $\Delta$ κυλινδρίῳ, πρὸς δὲ τῷ $E$ ὀπὴν στρογγύλην, ἥτις ἐγκείσεται εἴς τι ἀξόνιον συμφυὲς τῷ διατρέχοντι χελωναρίῳ ἐν τῷ πελεκινοειδεῖ σωλῆνι τῷ ὄντι ἐν τῷ $AB$ κανόνι. ἐναρμοσθέντος τοίνυν τοῦ $EZ$ κανόνος κατὰ μὲν τὴν $H\Theta$ ἀνατομὴν ἐν τῷ πρὸς τῷ $\Delta$*

2 ἐπιγεγραμμένῳ] AB; fort. *γεγραμμένῳ*. 4 ᾧ] *Torellius*, ο A, in quo B. 5 ὁ ἀνήρ] A, om. B. 7 ἕξεως] E, ἐξεσεως A, expressionis B. τοῦ — 8 *τοίνυν*] cfr. NJS. XI p. 380, igitur et ut sine defectu B. 9 τῆς] G, τη A. 14 οἱ] *Basil.*, que B, ο A. 15 χελώνιον] chelonium mg. B², εχελωνιον A, nauicula B. 16 τῷ (alt.)] scripsi, το A. καὶ] *Valla*, προς comp. A, ad B. 17 τὴν μέσον] scripsi, μεσην την AB.

## Ut Nicomedes in libro De lineis conchoidibus.

Etiam Nicomedes in libro, quem De conchoidibus inscripsit, instrumenti cuiusdam constructionem describit eandem utilitatem praestantis, qua magnopere gloriari eum adparet, Eratosthenis autem inuenta ualde inridere ut et inhabilia et sensu geometrico carentia. itaque, ne quid desit eorum uirorum, qui in hoc problemate resoluendo uersati sunt, et simul ut inuentum eius cum Eratosthene comparetur, eum quoque adiungimus iis, quae iam scripsimus, si summam spectes, ita scribentem:

fingantur duae regulae ad rectos angulos inter se coniunctae, ita ut unam praebeant superficiem, quales sunt $AB$, $\Gamma\Delta$, et in $AB$ stria similis securi, in qua chelonium moueri possit, in $\Gamma\Delta$ autem in parte ad $\Delta$ sita rectaque latitudinem eius mediam secanti cylindrus regulae adfixus et e superficie ipsius regulae paullulum exstans, aliaque regula, ut $EZ$, rimam paruo spatio a termino $Z$ distantem habens, ut $H\Theta$, quae cylindrum ad $\Delta$ positum comprehendere possit, et in $E$ foramen rotundum, quo recipi possit axis adfixus chelonio, quod in stria securis simili in regula $AB$ posita mouetur. itaque regula $EZ$ ita posita, ut rima $H\Theta$ cylindrum ad $\Delta$ positum comprehendat, foramen autem $E$ axem chelonio adfixum recipiat, si adprehenso termino $K$ regulam




20 τῷ] scripsi, το A. 26 Δ] in ras. B, Z A. In fig. pro $H$ hab. $M$, litt. Δ in extrema regula A; multas ras. B.

κυλινδρίῳ, κατὰ δὲ τὴν $E$ ὀπὴν ἐν τῷ ἀξονίῳ τῷ συμφυεῖ τῷ χελωναρίῳ, ἐάν τις ἐπιλαβόμενος τοῦ $K$ ἄκρου τοῦ κανόνος κινῇ αὐτὸν ἐπὶ τὰ πρὸς τῷ $A$ μέρη, ἔπειτα ἐπὶ τὰ πρὸς τῷ $B$, τὸ μὲν $E$ σημεῖον ἀεὶ ἐπὶ τοῦ $AB$ κανόνος ἐνεχθήσεται, ἡ δὲ $H\Theta$ ἀνατομὴ ἐπὶ τῷ πρὸς τῷ $\Delta$ κυλινδρίῳ κινηθήσεται ἀεὶ τῆς μέσης τοῦ $EZ$ κανόνος εὐθείας ἐν τῇ κινήσει διὰ τοῦ ἄξονος τοῦ πρὸς τῷ $\Delta$ κυλινδρίου νοουμένης, τῆς δὲ $EK$ ὑπεροχῆς τοῦ κανόνος ἀεὶ τῆς αὐτῆς μενούσης. ἐὰν τοίνυν πρὸς τῷ $K$ ἐπινοήσωμέν τι γραφεῖον ἐφαπτόμενον τοῦ ἐδάφους, γραφήσεταί τις γραμμή, οἵα ἐστὶν ἡ $\Lambda MN$, ἥντινα καλεῖ Νικομήδης κογχοειδῆ πρώτην γραμμήν, καὶ διάστημα μὲν τῆς γραμμῆς τὸ $EK$ μέγεθος τοῦ κανόνος, πόλον δὲ τὸ $\Delta$.

ταύτῃ δὴ τῇ γραμμῇ συμβαῖνον δείκνυσιν τὸ ἀεὶ ἐπ' ἔλαττον μὲν συμπορεύεσθαι τῷ $AB$ κανόνι, καὶ ἐάν τις εὐθεῖα διαχθῇ μεταξὺ τῆς τε γραμμῆς καὶ τοῦ $AB$ κανόνος, ὅτι πάντως τέμνει τὴν γραμμήν. καὶ τὸ μὲν πρότερον τῶν συμβαινόντων ἐστὶν εὐκατανόητον ἐφ' ἑτέρας καταγραφῆς. κανόνος γὰρ νοουμένου τοῦ $AB$, πόλου δὲ τοῦ $\Gamma$, διαστήματος δὲ τοῦ $\Delta E$, γραμμῆς δὲ κογχοειδοῦς τῆς $ZEH$, προσπιπτέτωσαν ἀπὸ τοῦ $\Gamma$ δύο αἱ $\Gamma\Theta$, $\Gamma Z$, ἴσων δηλονότι γινομένων τῶν $K\Theta$, $\Lambda Z$. λέγω, ὅτι ἡ $ZM$ κάθετος ἐλάττων τῆς $\Theta N$ καθέτου.

μείζονος γὰρ οὔσης τῆς ὑπὸ $M\Lambda\Gamma$ γωνίας τῆς ὑπὸ $NK\Gamma$ λοιπὴ ἡ λείπουσα εἰς τὰς δύο ὀρθὰς ἡ ὑπὸ $M\Lambda Z$ λοιπῆς τῆς ὑπὸ $NK\Theta$ ἐστιν ἐλάσσων, καὶ διὰ τοῦτο ὀρθῶν οὐσῶν τῶν πρὸς τοῖς $M$, $N$ μείζων ἔσται καὶ ἡ πρὸς τῷ $Z$ τῆς πρὸς τῷ $\Theta$. καὶ ἐὰν τῇ πρὸς τῷ $\Theta$ ἴσην συστησώμεθα τὴν ὑπὸ $MZ\Xi$, ἡ $K\Theta$, τουτέστιν ἡ $\Lambda Z$, πρὸς $\Theta N$ τὸν αὐτὸν ἕξει λόγον, ὃν ἡ $\Xi Z$ πρὸς $ZM$·

uersus $\Delta$ et deinde uersus $B$ mouerimus, punctum $E$ semper in regula $AB$ feretur, $H\Theta$ autem rima in cylindro ad $\Delta$ posito mouebitur, ita ut recta media regulae $EZ$ in mouendo semper per axem cylindri in $\Delta$ positi transeat, spatiumque $EK$, quo excedit regula, semper idem maneat. si igitur in puncto $K$ graphium aliquod finxerimus solum contingens, describetur linea quaedam, qualis est $\Delta MN$, quam Nicomedes lineam conchoidem primam uocat, et radium lineae uocat spatium $EK$ regulae, polum autem $\Delta$ punctum.

demonstrat igitur, huius lineae proprium esse, ut semper magis adpropinquet[1]) regulae $AB$, et, si recta inter lineam regulamque $AB$ ducatur, eam semper lineam secare. et prior proprietas facilis est intellectu in alia figura. regula enim sit $AB$, polus autem $\Gamma$ et radius $\Delta E$, lineaque conchoides sit $ZEH$, et a $\Gamma$ ad eam producantur duae rectae $\Gamma\Theta$, $\Gamma Z$, quarum partes $K\Theta$, $\Delta Z$ aequales erunt [lin. 8]. dico, perpendicularem $ZM$ minorem esse perpendiculari $\Theta N$.




nam cum $\angle MA\Gamma > NK\Gamma$ [Eucl. I, 16], qui deficit angulus ad duos angulos rectos complendos, $MAZ$, minor est angulo reliquo $NK\Theta$, et ideo, cum anguli ad $M$, $N$ positi recti sint, erit etiam $\angle Z > \Theta$. et si posuerimus $\angle MZ\Xi = \Theta$, erit $K\Theta : \Theta N$, h. e. $\Delta Z : \Theta N$, $= \Xi Z : ZM$ [Eucl. VI, 4];

1) Sed nunquam cum ea concidet (cfr. Proclus ad Eucl. p. 177, 16). et huc spectat *μὲν* lin. 16.

4 *ἐπὶ τὰ*] *Torellius*, om. AB. 6 *τῷ Δ*] scripsi, *το Δ* A. *κυλινδρίῳ*] B, *κυλινδριον* A. 8 *κυλινδρίου*] B, *κυλινδρω* A. 11 *ΔMN*] B, *AMN* A. 18 *τέμνει*] A, secabit B. 20 *γὰρ*] scripsi, *τε* A, om. B. *τοῦ*] *Basil.*, *της* A. 24 *ΘN*] B, *ΘH* A. 28 *N*] B, *H* A. 29 *τῷ* (pr.)] e corr. G, *το* A. *τῷ* (tert.)] GH, *το* A. 30 *συστησώμεθα*] GH, e corr. E; *συστησομεθα* A. 31 *ΞZ*] e corr. B, *ΞN* A. In fig. multae litt. corr. B, nonnullae falsae in A.

ὥστε ἡ $ZA$ πρὸς τὴν $\Theta N$ ἐλάττονα λόγον ἔχει ἤπερ πρὸς τὴν $ZM$, καὶ διὰ τοῦτο μείζων ἡ $\Theta N$ τῆς $ZM$.

τὸ δὲ δεύτερον ἦν τὸ τὴν διαγομένην εὐθεῖαν μεταξὺ τῆς τε $AB$ καὶ τῆς γραμμῆς τέμνειν τὴν γραμμήν· καὶ τοῦτο δὲ οὕτω γίνεται γνώριμον·

ἡ γὰρ διαγομένη ἤτοι παράλληλός ἐστι τῇ $AB$ ἢ οὔ. ἔστω πρότερον παράλληλος, ὡς ἡ $ZH\Theta$, καὶ γεγονέτω, ὡς ἡ $\Delta H$ πρὸς $H\Gamma$, οὕτως ἡ $\Delta E$ πρὸς ἄλλην τινὰ τὴν $K$, καὶ κέντρῳ τῷ $\Gamma$, διαστήματι δὲ τῇ $K$, περιφέρεια γραφεῖσα τεμνέτω τὴν $ZH$ κατὰ τὸ $Z$, καὶ ἐπεζεύχθω ἡ $\Gamma Z$· ἔστιν ἄρα, ὡς ἡ $\Delta H$ πρὸς $H\Gamma$, οὕτως ἡ $\Delta Z$ πρὸς $Z\Gamma$. ἀλλ' ὡς ἡ $\Delta H$ πρὸς $H\Gamma$, οὕτως ἦν ἡ $\Delta E$ πρὸς τὴν $K$, τουτέστι τὴν $\Gamma Z$· ἴση ἄρα ἡ $\Delta E$ τῇ $\Delta Z$· ὅπερ ἀδύνατον· δεῖ γὰρ εἶναι τὸ $Z$ πρὸς τῇ γραμμῇ.




ἀλλὰ δὴ μὴ ἔστω ἡ διαγομένη παράλληλος, καὶ ἔστω ὡς ἡ $MHN$, καὶ ἤχθω διὰ τοῦ $H$ παράλληλος τῇ $AB$ ἡ $ZH$. ἡ ἄρα $ZH$ συμπεσεῖται τῇ γραμμῇ· ὥστε πολλῷ μᾶλλον ἡ $MN$.

τούτων δὲ ὄντων τῶν παρακολουθημάτων διὰ τοῦ ὀργάνου τὸ χρήσιμον εἰς τὸ προκείμενον δείκνυται οὕτως·

πάλιν γωνίας δοθείσης τῆς $A$ καὶ σημείου ἐκτὸς τοῦ $\Gamma$ διαγαγεῖν τὴν $\Gamma H$ καὶ ποιεῖν τὴν $KH$ ἴσην τῇ δοθείσῃ.

ἤχθω κάθετος ἀπὸ τοῦ $\Gamma$ σημείου ἐπὶ τὴν $AB$ ἡ $\Gamma\Theta$ καὶ ἐκβεβλήσθω, καὶ τῇ δοθείσῃ ἴση ἔστω ἡ $\Delta\Theta$, καὶ

quare $ZA : \Theta N < ZA : ZM$ [Eucl. V, 8], et ideo $\Theta N > ZM$ [Eucl. V, 10].

alterum erat, rectam inter $AB$ conchoidemque ductam hanc secare; hoc autem ita intellegitur:

recta enim producta aut parallela est rectae $AB$ aut non parallela. prius sit parallela, ut $ZH\Theta$, et fiat

$$AH : H\Gamma = AE : K,$$

centro autem $\Gamma$ radioque $K$ describatur arcus circuli, qui rectam $ZH$ in Z secet,[1]) et ducatur $\Gamma Z$; est igitur

$$AH : H\Gamma = AZ : Z\Gamma \text{ [Eucl. VI, 2; V, 18].}$$

erat autem

$$AH : H\Gamma = AE : K = AE : \Gamma Z;$$

itaque $AE = AZ$; quod fieri non potest; tum enim Z punctum in conchoide positum est [p. 100, 8].[2])

iam recta producta parallela ne sit, ut $MHN$, et per $H$ rectae $AB$ parallela ducatur $ZH$. itaque $ZH$ cum conchoide concurret; quare multo magis recta $MN$ concurret.

cum haec per instrumentum illud consequantur, quod ad propositum utile est, ita demonstratur:

rursus dato angulo $A$ et puncto $\Gamma$ extrinsecus posito ⟨propositum sit⟩, ut rectam $\Gamma H$ producamus et rectam $KH$ datae rectae aequalem faciamus.

ducatur a puncto $\Gamma$ ad $AB$ perpendicularis recta $\Gamma\Theta$ et producatur, dataeque rectae aequalis sit $A\Theta$, et polo $\Gamma$ ra-

1) Quod fieri necesse est, quia $AH : H\Gamma = AE : K$, h. e. $AH : AE = H\Gamma : K$; et $AH < AE$; itaque $H\Gamma < K$.

2) Haec (lin. 18—19) parum recte procedunt; sed error Eutocio ipsi imputandus est. Nicomedes ipse sine dubio demonstrationis initium ita formauerat: nam linea $ZH\Theta$ conchoidem ne secet, cet., ad quam formam conclusio illa aptissima est. hanc igitur retinuit Eutocius oblitus, se alio demonstrationis genere uti.

πόλῳ μὲν τῷ Γ, διαστήματι δὲ τῷ δοθέντι τῷ ΔΘ, κανόνι δὲ τῷ ΑΒ, γεγράφθω κογχοειδὴς γραμμὴ πρώτη ἡ ΕΔΖ· συμβάλλει ἄρα τῇ ΑΗ διὰ τὸ προδειχθέν. συμβαλλέτω κατὰ τὸ Η, καὶ ἐπεζεύχθω ἡ ΓΗ· ἴση ἄρα ἡ ΚΗ τῇ δοθείσῃ.

τούτων δειχθέντων δεδόσθωσαν δύο εὐθεῖαι αἱ ΓΛ, ΛΑ πρὸς ὀρθὰς ἀλλήλαις, ὧν δεῖ δύο μέσας ἀνάλογον κατὰ τὸ συνεχὲς εὑρεῖν, καὶ συμπεπληρώσθω τὸ ΑΒΓΛ παραλληλόγραμμον, καὶ τετμήσθω δίχα ἑκατέρα τῶν ΑΒ, ΒΓ τοῖς Δ, Ε σημείοις, καὶ ἐπιζευχθεῖσα μὲν ἡ ΔΛ ἐκβεβλήσθω καὶ συμπιπτέτω τῇ ΓΒ ἐκβληθείσῃ κατὰ τὸ Η, τῇ δὲ ΒΓ πρὸς ὀρθὰς ἡ ΕΖ, καὶ προσβεβλήσθω ἡ ΓΖ ἴση οὖσα τῇ ΑΔ, καὶ ἐπεζεύχθω ἡ ΖΗ καὶ αὐτῇ παράλληλος ἡ ΓΘ, καὶ γωνίας οὔσης τῆς ὑπὸ τῶν ΚΓΘ ἀπὸ δοθέντος τοῦ Ζ διήχθω ἡ ΖΘΚ ποιοῦσα ἴσην τὴν ΘΚ τῇ ΑΔ ἢ τῇ ΓΖ· τοῦτο γὰρ ὡς δυνατόν, ἐδείχθη διὰ τῆς κογχοειδοῦς· καὶ ἐπιζευχθεῖσα ἡ ΚΛ ἐκβεβλήσθω καὶ συμπιπτέτω τῇ ΑΒ ἐκβληθείσῃ κατὰ τὸ Μ. λέγω, ὅτι ἐστίν, ὡς ἡ ΓΛ πρὸς ΚΓ, ἡ ΚΓ πρὸς ΜΑ καὶ ἡ ΜΑ πρὸς τὴν ΑΔ.

ἐπεὶ ἡ ΒΓ τέτμηται δίχα τῷ Ε, καὶ πρόσκειται αὐτῇ ἡ ΚΓ, τὸ ἄρα ὑπὸ ΒΚΓ μετὰ τοῦ ἀπὸ ΓΕ ἴσον ἐστὶ τῷ ἀπὸ ΕΚ. κοινὸν προσκείσθω τὸ ἀπὸ ΕΖ· τὸ ἄρα ὑπὸ ΒΚΓ μετὰ τῶν ἀπὸ ΓΕΖ, τουτέστι τοῦ ἀπὸ ΓΖ, ἴσον ἐστὶ τοῖς ἀπὸ ΚΕΖ, τουτέστι τῷ ἀπὸ ΚΖ. καὶ ἐπεί, ὡς ἡ ΜΑ πρὸς ΑΒ, ἡ ΜΑ πρὸς ΛΚ, ὡς δὲ ἡ

---

1 Hoc loco alteram quoque figuram, ubi *ΗΚΓ* in altera parte lineae *ΔΓ* posita est, hab. AB. *κανόνι*] EGB, *κανονιον* A. 8 *συμπεπληρώσθω*] E(G)H, *συνπεπληρωσθω* A. 13 *ΑΔ*] e corr. B, *ΑΛ* A. 16 *ΘΚ τῇ ΑΔ ἢ*] e corr. B, *ΘΚΑΔΗ* A. 26 *ΜΑ*] e corr. B, mg. ras.; *ΜΑ* A.

dioque $\Delta\Theta$ recta data regula $AB$ describatur linea conchoides prima $E\Delta Z$; concurrit igitur propter ea, quae supra demonstrauimus [p. 102, 3 sq.], cum $AH$. concurrat in $H$, et ducatur $\Gamma H$; itaque recta $KH$ aequalis est datae.




his demonstratis datae sint[1]) duae rectae $\Gamma\Delta$, $A\Delta$ inter se perpendiculares, inter quas duas medias proportionales in proportione continua inueniri oporteat, et compleatur parallelogrammum $AB\Gamma\Delta$, et utraque recta $AB$, $B\Gamma$ in punctis $\Delta$, $E$ in binas partes aequales diuidatur, $\Delta\Delta$ autem recta ducta producatur et cum recta $\Gamma B$ producta in $H$ concurrat, ad rectam $B\Gamma$ autem perpendicularis ⟨ducatur⟩ $EZ$, et ducatur $\Gamma Z$ rectae $A\Delta$ aequalis, et ducatur $ZH$ eique parallela $\Gamma\Theta$, dato autem angulo $K\Gamma\Theta$ a dato puncto Z ducatur $Z\Theta K$, ita ut sit

$$\Theta K = A\Delta = \Gamma Z;$$

hoc enim fieri posse, per conchoidem demonstratum est [p. 102, 27 sq.]; et recta $K\Delta$ ducta producatur et cum $AB$ producta in $M$ concurrat. dico, esse

$$\Gamma\Delta : K\Gamma = K\Gamma : M\Delta = M\Delta : A\Delta.$$

quoniam $B\Gamma$ in duas partes aequales puncto $E$ diuisa est eique adiecta $K\Gamma$, erit

$$BK \times K\Gamma + \Gamma E^2 = EK^2 \text{ [Eucl. II, 6]}.$$

commune addatur $EZ^2$; itaque $BK \times K\Gamma + \Gamma E^2 + EZ^2$, h. e. $BK \times K\Gamma + \Gamma Z^2$, $= KE^2 + EZ^2 = KZ^2$ [Eucl. I, 47].

---

1) Hanc methodum Nicomedis paucis mutatis tradit Pappus III, 24 p. 58—64 et magis cum Eutocio congruens III, 42 p. 246—50. incipit a δεδόσθωσαν lin. 6. posterioris loci ab Eutocio discrepantia haec est: lin. 6 δεδόσθωσαν γὰρ, 17 κοχλοειδοῦς γραμμῆς, 19 $A\Gamma$; p. 106, 4 ἐπεί — 5 $\Delta B$ om., 20 $\Gamma K$ πρὸς $M\Delta$, 23 ἔστιν — $\Gamma K$ om. errore librarii (ἔστι δὲ καί, ὡς ἡ $MB$ πρὸς $BK$ Pappus III p. 62, 11—12).

*ΜΔ πρὸς ΔΚ, οὕτως ἡ ΒΓ πρὸς ΓΚ, καὶ ὡς ἄρα ἡ ΜΔ πρὸς ΔΒ, οὕτως ἡ ΒΓ πρὸς ΓΚ. καί ἐστιν τῆς μὲν ΔΒ ἡμίσεια ἡ ΑΔ, τῆς δὲ ΒΓ διπλῆ ἡ ΓΗ (ἐπεὶ καὶ ἡ ΑΓ τῆς ΔΒ)· ἔσται ἄρα καί, ὡς ἡ ΜΑ πρὸς ΑΔ, οὕτως ἡ ΗΓ πρὸς ΚΓ. ἀλλ' ὡς ἡ ΗΓ πρὸς ΓΚ, οὕτως ἡ ΖΘ πρὸς ΘΚ διὰ τὰς παραλλήλους τὰς ΗΖ, ΓΘ· καὶ συνθέντι ἄρα, ὡς ἡ ΜΔ πρὸς ΔΑ, ἡ ΖΚ πρὸς ΚΘ. ἴση δὲ ὑπόκειται καὶ ἡ ΑΔ τῇ ΘΚ, ἐπεὶ καὶ τῇ ΓΖ ἴση ἐστὶν ἡ ΑΔ· ἴση ἄρα καὶ ἡ ΜΔ τῇ ΖΚ· ἴσον ἄρα καὶ τὸ ἀπὸ ΜΔ τῷ ἀπὸ ΖΚ. καί ἐστιν τῷ μὲν ἀπὸ ΜΔ ἴσον τὸ ὑπὸ ΒΜΑ μετὰ τοῦ ἀπὸ ΔΑ, τῷ δὲ ἀπὸ ΖΚ ἴσον ἐδείχθη τὸ ὑπὸ ΒΚΓ μετὰ τοῦ ἀπὸ ΓΖ, ὧν τὸ ἀπὸ ΑΔ ἴσον τῷ ἀπὸ ΓΖ· ἴση γὰρ ὑπόκειται ἡ ΑΔ τῇ ΓΖ· ἴσον ἄρα καὶ τὸ ὑπὸ ΒΜΑ τῷ ὑπὸ ΒΚΓ. ὡς ἄρα ἡ ΜΒ πρὸς ΒΚ, ἡ ΚΓ πρὸς ΑΜ. ἀλλ' ὡς ἡ ΒΜ πρὸς ΒΚ, ἡ ΓΑ πρὸς ΓΚ· καὶ ὡς ἄρα ἡ ΑΓ πρὸς ΓΚ, ἡ ΓΚ πρὸς ΑΜ. ἔστιν δὲ καί, ὡς ἡ ΑΓ πρὸς ΓΚ, ἡ ΜΑ πρὸς ΑΔ· καὶ ὡς ἄρα ἡ ΑΓ πρὸς ΓΚ, ἡ ΓΚ πρὸς ΑΜ καὶ ἡ ΑΜ πρὸς ΑΔ.*




## *Εἰς τὸ β' θεώρημα.*

*Καὶ συνθέντι, ὡς ἡ ΔΘ πρὸς ΘΓ, ἡ ΓΑ πρὸς ΑΕ, τουτέστι τὸ ἀπὸ ΓΒ πρὸς τὸ ἀπὸ ΒΕ] ὡς γὰρ ἐπὶ αὐτῆς τῆς ἐν τῷ ῥητῷ καταγραφῆς, ἐπεὶ ἐν ὀρθογωνίῳ τριγώνῳ τῷ ΓΒΑ ἀπὸ τῆς ὀρθῆς ἐπὶ τὴν*

et quoniam est $MA : AB = M\Delta : \Delta K$, et

$$M\Delta : \Delta K = B\Gamma : \Gamma K,$$

erit etiam $MA : AB = B\Gamma : \Gamma K$. uerum $A\Delta = \frac{1}{2} AB$ et $\Gamma H = 2B\Gamma$ [quoniam $\Delta\Gamma = 2\Delta B$];[1]) erit igitur etiam $MA : A\Delta = H\Gamma : K\Gamma$. sed $H\Gamma : \Gamma K = Z\Theta : \Theta K$ [Eucl. VI, 2], quia parallelae sunt $HZ$, $\Gamma\Theta$;

$$\langle \text{quare } MA : A\Delta = Z\Theta : \Theta K \rangle;$$

itaque componendo [Eucl. V, 18] $M\Delta : \Delta A = ZK : K\Theta$. supposuimus autem, esse $A\Delta = \Theta K$, quoniam $\Gamma Z = A\Delta$ [p. 104, 13, 16]; quare etiam $M\Delta = ZK$; itaque etiam $M\Delta^2 = ZK^2$. sed $M\Delta^2 = BM \times MA + \Delta A^2$ [Eucl. II, 6], et demonstratum est, esse $ZK^2 = BK \times K\Gamma + \Gamma Z^2$, quorum $\Delta A^2 = \Gamma Z^2$; nam supposuimus, esse $A\Delta = \Gamma Z$; quare etiam

$$BM \times MA = BK \times K\Gamma.$$

itaque $$MB : BK = K\Gamma : AM.$$

sed $BM : BK = \Gamma A : \Gamma K$; quare etiam

$$A\Gamma : \Gamma K = \Gamma K : AM.$$

sed etiam $A\Gamma : \Gamma K = MA : A\Delta$ [Eucl. VI, 4]; quare etiam $A\Gamma : \Gamma K = \Gamma K : AM = AM : A\Delta$.

Ad prop. II.

P. 176, 6—7: et componendo

$$\Delta\Theta : \Theta\Gamma = \Gamma A : AE = \Gamma B^2 : BE^2]$$

nam quoniam in figura ipsius propositionis [I p. 175] in tri-

1) Nam $\Gamma H : HB = A\Gamma : B\Delta$ (Eucl. VI, 4), et $A\Gamma = AB$; quare $HB = \frac{1}{2}\Gamma H = B\Gamma$. ceterum haec uerba (lin. 4—5) ab Eutocio ipso addita sunt.

---

**5** $\Delta B$] *db* B, mg. ras.; $AB$ A. **7** $K\Gamma$] AB, $\Gamma K$ *Basil.* $H\Gamma$] e corr. B, $M\Gamma$ A. **8** $\Gamma K$] A; corr. ex *lk* B, mg. ras. **15** $\tau\tilde{\omega}$ $\mu\grave{\epsilon}\nu$] e corr. G, $\tau o$ $\mu\epsilon\nu$ A. **16** $\tau\grave{o}$] G, $\tau\alpha$ A, ei quod B. $BMA$] e corr. B, $BM$ AB. $\Delta A$] A, *ad* B. **18** $\grave{\alpha}\pi\grave{o}$ $A\Delta$] e corr. B, $A\Delta$ AB. $\Gamma Z$] $\Gamma Z \cdot$ $\tilde{\iota}\sigma o\nu$ $\check{\alpha}\rho\alpha$ $\tau\grave{o}$ $\grave{\upsilon}\pi\grave{o}$ $BMA$ $\mu\epsilon\tau\grave{\alpha}$ $\tau o\tilde{\upsilon}$ $\grave{\alpha}\pi\grave{o}$ $A\Delta$ $\tau\tilde{\omega}$ $\grave{\upsilon}\pi\grave{o}$ $BK\Gamma$ $\mu\epsilon\tau\grave{\alpha}$ $\tau o\tilde{\upsilon}$ $\grave{\alpha}\pi\grave{o}$ $\Gamma Z$ *Basil.*; sed om. etiam *Pappus*. **22** Post pr. $\Gamma K$ ras. magn. B. **28** $\alpha\grave{\upsilon}\tau\tilde{\eta}\varsigma$] om. B, ipsa mg. $B^2$.

βάσιν κάθετος ἥκται ἡ *BE*, τὰ πρὸς τῇ καθέτῳ τρίγωνα ὅμοιά ἐστι τῷ τε ὅλῳ καὶ ἀλλήλοις, καὶ διὰ τοῦτό ἐστιν, ὡς ἡ *ΓA* πρὸς *AB*, ἡ *BA* πρὸς *AE* καὶ ἡ *ΓB* πρὸς *BE*· ὥστε καί, ὡς τὸ ἀπὸ *ΓA* πρὸς τὸ ἀπὸ *AB*, οὕτως τὸ ἀπὸ *ΓB* πρὸς τὸ ἀπὸ *BE*. ἀλλ' ὡς τὸ ἀπὸ *ΓA* πρὸς τὸ ἀπὸ *AB*, οὕτως ἡ *ΓA* πρὸς *AE*· ὡς γὰρ ἡ πρώτη πρὸς τὴν τρίτην, οὕτως τὸ ἀπὸ τῆς πρώτης πρὸς τὸ ἀπὸ τῆς δευτέρας. ὡς ἄρα ἡ *ΓA* πρὸς *AE*, οὕτως τὸ ἀπὸ *ΓB* πρὸς τὸ ἀπὸ *BE*.

διὰ δὲ τῶν αὐτῶν δείκνυται, ὅτι ἐστίν, ὡς ἡ *ΓA* πρὸς *ΓE*, οὕτως τὸ ἀπὸ *AB* πρὸς τὸ ἀπὸ *BE*. διὰ γὰρ τὴν ὁμοιότητα τῶν τριγώνων ἐστὶ πάλιν, ὡς ἡ μὲν *AΓ* πρὸς *ΓB*, οὕτως ἡ *BΓ* πρὸς *ΓE*, τουτέστιν, ὡς τὸ ἀπὸ *AΓ* πρὸς τὸ ἀπὸ *ΓB*, οὕτως ἡ *AΓ* πρὸς *ΓE*, ὡς δὲ τὸ ἀπὸ *AΓ* πρὸς τὸ ἀπὸ *ΓB*, οὕτως τὸ ἀπὸ *AB* πρὸς τὸ ἀπὸ *BE*· καὶ ὡς ἄρα ἡ *AΓ* πρὸς *ΓE*, τὸ ἀπὸ *AB* πρὸς τὸ ἀπὸ *BE*.

εἶτα ἐφεξῆς δεικνύναι πειρώμενος τῷ *BAZ* τμήματι τῆς σφαίρας ἴσον τὸν *BKZ* κῶνον ἐκθέμενος κῶνον τὸν *N* βάσιν μὲν ἔχοντα ἴσην τῇ ἐπιφανείᾳ τοῦ *BAZ* τμήματος, ὕψος δὲ ἴσον τῇ ἐκ τοῦ κέντρου τῆς σφαίρας, φησίν, ὅτι ὁ *N* κῶνος ἴσος ἐστὶ τῷ *ZABΘ* στερεῷ τομεῖ, ὡς δέδεικται ἐν τῷ πρώτῳ βιβλίῳ. ἰστέον δέ, ὅτι ἐν τῷ πρώτῳ βιβλίῳ οὐ τὸν τοιοῦτον τομέα ἀπεδείκνυεν ἴσον ὄντα τῷ οὕτως λαμβανομένῳ κώνῳ, ἀλλὰ τὸν περιεχόμενον ὑπό τε τῆς τοῦ κώνου ἐπιφανείας καὶ σφαιρικῆς ἐπιφανείας ἐλάττονος ἡμισφαιρίου, ὄντινα καὶ κυρίως ἐν τοῖς ὅροις τομέα στερεὸν καλεῖν ἐφαίνετο. ἔφασκεν γάρ· τομέα δὲ στερεὸν καλέω, ἐπειδὰν σφαῖραν κῶνος τέμνῃ τὰν κορυφὰν ἔχων ποτὶ τῷ κέντρῳ τᾶς σφαίρας, τὸ περιεχόμενον σχῆμα ὑπὸ τᾶς τοῦ

angulo rectangulo $\Gamma BA$ ab angulo recto ad basim perpendicularis ducta est $BE$, trianguli ad perpendicularem positi similes sunt et toti et inter se [Eucl. VI, 8], et ideo est

$$\Gamma A : AB = BA : AE = \Gamma B : BE;$$

quare etiam $\Gamma A^2 : AB^2 = \Gamma B^2 : BE^2$. sed

$$\Gamma A^2 : AB^2 = \Gamma A : AE;$$

nam ut primus terminus ad tertium, ita quadratum primi ad quadratum secundi [Eucl. V def. 10]. quare

$$\Gamma A : AE = \Gamma B^2 : BE^2.$$

eadem ratione demonstratur, esse $\Gamma A : \Gamma E = AB^2 : BE^2$ [p. 178, 11—12]. nam propter similitudinem triangulorum rursus est $A\Gamma : \Gamma B = B\Gamma : \Gamma E$, h. e.

$$A\Gamma^2 : \Gamma B^2 = A\Gamma : \Gamma E \text{ [Eucl. V def. 10]},$$

et $A\Gamma^2 : \Gamma B^2 = AB^2 : BE^2$; itaque etiam

$$A\Gamma : \Gamma E = AB^2 : BE^2.$$

deinde demonstrare conatus, conum $BKZ$ aequalem esse segmento sphaerae $BAZ$, posito cono $N$ basim habenti superficiei segmenti $BAZ$ aequalem, altitudinem autem radio sphaerae aequalem, dicit, conum $N$ aequalem esse sectori solido $ZAB\Theta$, ut demonstratum sit in libro primo [p. 178, 16—17]. animaduertendum autem, eum in libro primo non eius modi sectorem cono hoc modo sumpto aequalem esse demonstrasse, sed sectorem comprehensum superficie coni superficieque sphaerica minore, quam hemisphaerium est, quem etiam in definitionibus proprie sectorem solidum adpellare uidetur. ita enim: sectorem, inquit, solidum uoco, cum conus sphaeram secet uerticem habens ad centrum sphaerae, figuram, quae a coni superficie eaque parte

---

**5** $\Gamma B$] e corr. B, $\Gamma\Theta B$ AB. **22** κῶνος] GH, e corr. E; κονος A. Signa mg. adp. B. **25** τὸν περιεχόμενον] B, τω περιεχομενω A. **29** sq. signa om. B. **31** τᾶς (alt.)] *Torellius*, της A.

κώνου ἐπιφανείας καὶ τᾶς ἐντὸς τοῦ κώνου. τὸ δὲ νῦν προκείμενον σχῆμα περιέχεται μὲν ὑπὸ κωνικῆς ἐπιφανείας τὴν κορυφὴν ἐχούσης πρὸς τῷ κέντρῳ τῆς σφαίρας καὶ σφαιρικῆς ἐπιφανείας, ἀλλ' οὐ τῆς ἐντὸς ἀπολαμβανομένης τοῦ κώνου. ὅτι δὲ καὶ τὸ τοιοῦτον σχῆμα ἴσον γίνεται τῷ κώνῳ τῷ βάσιν μὲν ἔχοντι τὴν ἴσην τῇ ἐπιφανείᾳ τῇ σφαιρικῇ τῇ περιεχούσῃ τὸ τμῆμα, ὕψος δὲ ἴσον τῇ ἐκ τοῦ κέντρου τῆς σφαίρας, δειχθήσεται οὕτως διὰ τῶν ἐν τῷ πρώτῳ βιβλίῳ δεδειγμένων. νενοήσθω χωρὶς σφαῖρα καὶ τετμήσθω ἐπιπέδῳ τινὶ μὴ διὰ τοῦ κέντρου τῷ περὶ διάμετρον τὴν $BΔ$ κύκλῳ, κέντρον δὲ τῆς σφαίρας τὸ $A$, καὶ νοείσθω κῶνος [ὁ] βάσιν μὲν ἔχων τὸν περὶ διάμετρον τὴν $BΔ$ κύκλον, κορυφὴν δὲ τὸ $A$ σημεῖον, ἐκκείσθω δὲ κῶνος ὁ $E$, οὗ ἡ μὲν βάσις ἴση ἔστω τῇ ἐπιφανείᾳ τῆς σφαίρας, ὕψος δὲ ἡ ἐκ τοῦ κέντρου τῆς σφαίρας· ὁ ἄρα $E$ κῶνος ἴσος ἐστὶ τῇ σφαίρᾳ· τετραπλάσιος γάρ ἐστι τοῦ κώνου τοῦ βάσιν ἔχοντος τὸν μέγιστον κύκλον, ὕψος δὲ τὸ αὐτό, οὗπερ καὶ ἡ σφαῖρα ἐδείχθη τετραπλασία. ἐκκείσθωσαν δὲ καὶ ἄλλοι δύο κῶνοι οἱ $Z, H$, ὧν ὁ μὲν $Z$ βάσιν ἐχέτω ἴσην τῇ ἐπιφανείᾳ τοῦ κατὰ τὴν $BΓΔ$ τμήματος, ὕψος δὲ τὴν ἐκ τοῦ κέντρου τῆς σφαίρας, ὁ δὲ $H$ βάσιν μὲν ἴσην τῇ ἐπιφανείᾳ τοῦ κατὰ τὴν $BΘΔ$ τμήματος, ὕψος δὲ τὸ αὐτό· ὁ ἄρα $Z$ κῶνος ἴσος ἐστὶ τῷ τομεῖ, οὗ κορυφὴ μὲν τὸ $A$, ἐπιφάνεια δὲ σφαιρικὴ ἡ κατὰ τὴν $BΓΔ$. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ τοῦ $E$ κώνου βάσις ταῖς τῶν $Z, H$ κώνων βάσεσιν, καί εἰσιν ὑπὸ τὸ αὐτὸ ὕψος,

1 καὶ] om. AB, καὶ τᾶς ἐπιφανείας τᾶς σφαίρας *Torellius*; fort. καὶ τᾶς σφαιρικᾶς ἐπιφανείας. 11 τῷ] e corr. G, το A. 12 ὁ] deleo. 14 *E*] seq. ras. B, *EN* A. 16 ἡ] A, ei que B. 18 Post βάσιν add. quidem $B^2$; item lin. 20. 21 ἴσην] GH, ισον A. 22 *H*] B, *B* A.

⟨superficiei sphaerae⟩ continetur, quae intra conum cadit [I def. 5 p. 6]. sed figura hic proposita conica illa quidem superficie continetur uerticem habenti ad centrum sphaerae et superficie sphaerica, sed non ea, quae intra conum cadit. uerum etiam eius modi figuram aequalem esse cono basim habenti aequalem superficiei sphaericae segmentum comprehendenti, altitudinem autem radio sphaerae aequalem, ita demonstrabimus per ea, quae in primo libro demonstrata sunt.

fingatur sphaera seorsum posita et secetur plano non per centrum posito, uelut circulo circum diametrum $B\Delta$ descripto, centrum autem sphaerae $A$, et fingatur conus basim habens circulum circum diametrum $B\Delta$ descriptum, uerticem autem punctum $A$, et ponatur conus $E$, cuius basis aequalis sit superficiei sphaerae, altitudo autem radius sphaerae; itaque conus $E$ aequalis est sphaerae; nam quadruplo maior est cono basim habenti circulum maximum, altitudinem autem eandem [I, 33; I lemma 1 p. 72], et eodem etiam sphaeram quadruplo maiorem esse demonstratum est [I, 34]. ponantur autem etiam duo alii coni Z, $H$, quorum Z basim habeat aequalem superficiei segmenti $B\Gamma\Delta$ altitudinemque radium sphaerae, $H$ autem basim aequalem superficiei segmenti $B\Theta\Delta$ altitudinemque eandem; itaque conus Z aequalis est sectori, cuius uertex est $A$, superficies autem sphaerica $B\Gamma\Delta$ [I, 44]. iam quoniam basis coni $E$ aequalis est basibus conorum Z, $H$, et eandem habent altitudinem, conus $E$, h. e. sphaera, aequalis erit conis Z, $H$. sed demonstratum est, conum Z aequalem esse sectori



ἴσος ἄρα ἐστὶν ὁ *E* κῶνος, τουτέστιν ἡ σφαῖρα, τοῖς *Z*, *H* κώνοις. ἀλλ' ὁ *Z* ἴσος ἐδείχθη τῷ κατὰ τὴν *BΓΔ* στερεῷ τομεῖ κορυφὴν ἔχοντι τὸ *A*· λοιπὸς ἄρα ὁ *H* κῶνος ἴσος ἐστὶ τῷ λοιπῷ τμήματι βάσιν ἔχων τὴν ἐπιφάνειαν τοῦ κατὰ τὴν *BΘΔ* τμήματος, ὕψος δὲ τὴν ἐκ τοῦ κέντρου.

εἶτα πάλιν φησίν· ἴσος ἄρα ὁ *N* κῶνος, τουτέστιν ὁ *BΘZA* τομεύς, τῷ *BΘZK* σχήματι] ἐπεὶ γὰρ συνήχθη ὁ *N* κῶνος ἴσος ὢν κώνῳ, οὗ βάσις μὲν ὁ περὶ διάμετρον τὴν *BZ* κύκλος, ὕψος δὲ ἡ *ΘK*, ὁ δὲ κῶνος, οὗ βάσις μέν ἐστιν ἡ αὐτή, ὕψος δὲ ἡ *EK*, ἴσος τῷ τε εἰρημένῳ κώνῳ καὶ τῷ βάσιν μὲν ἔχοντι τὴν αὐτήν, ὕψος δὲ τὴν *EΘ*· πρὸς ἀλλήλους γάρ εἰσιν ὡς τὰ ὕψη· κοινοῦ ἀφαιρεθέντος τοῦ κώνου τοῦ βάσιν μὲν ἔχοντος τὴν αὐτήν, ὕψος δὲ τὴν *EΘ*, λοιπὸν τὸ *BΘZK* σχῆμα ἴσον ἐστὶ τῷ κώνῳ τῷ βάσιν μὲν ἔχοντι τὸν περὶ διάμετρον τὴν *BZ* κύκλον, ὕψος δὲ τὴν *ΘK*, τουτέστι τῷ *N* κώνῳ, τουτέστι τῷ *BAΘZ* τομεῖ.

ἐπαγαγὼν δὴ τὸ ἐκ τῶν συναχθέντων πόρισμα ἐπὶ τέλει τοῦ θεωρήματος ἔξῃς δι' ἑτέρας ἀποδείξεως συνάγει τὸ τελευταῖον μέρος τοῦ θεωρήματος, τουτέστιν ὅτι τὸ *ABZ* τμῆμα τῆς σφαίρας ἴσον ἐστὶ τῷ *BKZ* κώνῳ, καὶ προιών φησιν· ὡς ἄρα ἡ *KΘ* πρὸς *ΘΓ*, ἡ *ΘΔ* πρὸς *ΔΓ*, καὶ ὅλη ἡ *KΔ* πρὸς *ΔΘ* ἐστιν, ὡς ἡ *ΔΘ* πρὸς *ΔΓ*] ἐπεὶ γάρ ἐστιν, ὡς ἡ *KΘ* πρὸς *ΘΓ*, ἡ *ΘΔ* πρὸς *ΔΓ*, καὶ ἐναλλάξ, ὡς ἡ *KΘ* πρὸς *ΘΔ*, ἡ *ΘΓ* πρὸς *ΓΔ*, καὶ συνθέντι, ὡς ἡ *KΔ* πρὸς *ΔΘ*, ἡ *ΘΔ* πρὸς *ΔΓ*, τουτέστιν ἡ *KΘ* πρὸς *ΘA*· ἦν γάρ, ὡς ἡ *KΘ* πρὸς *ΘΓ*, ἡ *ΘΔ* πρὸς *ΔΓ*, ἴση δὲ ἡ *ΘΓ* τῇ *ΘA*. καὶ μετ' ὀλίγον· ὡς ἄρα ἡ *KΘ* πρὸς *ΔΘ*, οὕτως ἡ *AE* πρὸς *EΓ*· καὶ ὡς ἄρα τὸ ἀπὸ *KΔ* πρὸς τὸ

solido in $B\Gamma\Delta$ constructo uerticem habenti punctum $A$; itaque qui relinquitur conus $H$ basim habens ⟨aequalem⟩ superficiei segmenti $B\Theta\Delta$, altitudinem autem radium, aequalis est segmento reliquo.

deinde rursus: conus igitur $N$, inquit, hoc est sector $B\Theta ZA$, aequalis est figurae $B\Theta ZK$ [p. 178, 25—26]. nam quoniam effectum est, conum $N$ aequalem esse cono, cuius basis sit circulus circum diametrum $BZ$ descriptus, altitudo autem $\Theta K$ [p. 178, 23—25; cfr. I lemm. 4 p. 74], et conus, cuius basis eadem est, altitudo autem $EK$, aequalis est illi cono simul cum cono eandem basim habenti altitudinemque $E\Theta$ (nam eam inter se rationem habent, quam altitudines [I lemm. 1 p. 72]), ablato, qui communis est, cono basim habenti eandem altitudinemque $E\Theta$, quae relinquitur figura $B\Theta ZK$, aequalis est cono basim habenti circulum circum diametrum $BZ$ descriptum, altitudinem autem $\Theta K$, h. e. cono $N$, h. e. sectori $BA\Theta Z$.

adiecto iam in fine theorematis [p. 180, 1 sqq.] corollario ex iam effectis deriuato deinde alia demonstratione concludit[1]) extremam partem theorematis, h. e. segmentum sphaerae $ABZ$ aequale esse cono $BKZ$, et progressus: itaque, inquit, $K\Theta : \Theta\Gamma = \Theta\Delta : \Delta\Gamma$, et $K\Delta : \Delta\Theta = \Delta\Theta : \Delta\Gamma$ [p. 180, 25—27]. nam quoniam est $K\Theta : \Theta\Gamma = \Theta\Delta : \Delta\Gamma$, etiam permutando [Eucl. V, 16] erit $K\Theta : \Theta\Delta = \Theta\Gamma : \Gamma\Delta$, et componendo [Eucl. V, 18] $K\Delta : \Delta\Theta = \Theta\Delta : \Delta\Gamma$, h. e. $K\Theta : \Theta A$ [p. 180, 27]; erat enim $K\Theta : \Theta\Gamma = \Theta\Delta : \Delta\Gamma$, et $\Theta\Gamma = \Theta A$. et paullo post [p. 182, 4—6]: itaque

$$K\Theta : \Delta\Theta = AE : E\Gamma;$$

1) Vol. I p. 180, 9; cfr. p. 181 not. 4.

8 $B\Theta ZA$] e corr. B, $B\Theta Z\Delta$ AB. 18 $BA\Theta Z$] A; *batz* B, *ba-* e corr. 22 $ABZ$] e corr. B, $AB\Gamma$ A. 23 sqq. signa om. A, hab. B; item lin. 30.

ὑπὸ τῶν ΚΘΔ, οὕτως τὸ ἀπὸ ΑΓ πρὸς τὸ ὑπὸ τῶν ΑΕΓ] νοείσθωσαν γὰρ χωρὶς κείμεναι αἱ ΚΔ, ΑΓ, καὶ ἔστω, ὡς ἡ ΚΘ πρὸς ΘΔ, οὕτως ἡ ΑΕ πρὸς ΕΓ. λέγω, ὅτι ἐστὶν καί, ὡς τὸ ἀπὸ ΚΔ πρὸς τὸ ὑπὸ ΚΘΔ, οὕτως τὸ ἀπὸ ΑΓ πρὸς τὸ ὑπὸ ΑΕΓ.

ἐπεὶ γάρ ἐστιν, ὡς ἡ ΚΘ πρὸς ΘΔ, οὕτως ἡ ΑΕ πρὸς ΕΓ, καὶ συνθέντι ἐστίν, ὡς ἡ ΚΔ πρὸς ΔΘ, οὕτως ἡ ΑΓ πρὸς ΓΕ· ὥστε καί, ὡς τὸ ἀπὸ ΚΔ πρὸς τὸ ἀπὸ ΔΘ, οὕτως τὸ ἀπὸ ΑΓ πρὸς τὸ ἀπὸ ΕΓ. πάλιν, ἐπεί ἐστιν, ὡς ἡ ΚΘ πρὸς ΘΔ, οὕτως ἡ ΑΕ πρὸς ΕΓ, ἀλλ' ὡς ἡ ΚΘ πρὸς ΘΔ, οὕτως τὸ ὑπὸ ΚΘΔ πρὸς τὸ ἀπὸ ΘΔ κοινοῦ ὕψους τῆς ΘΔ λαμβανομένης, ὡς δὲ ἡ ΑΕ πρὸς ΕΓ, οὕτως τὸ ὑπὸ ΑΕΓ πρὸς τὸ ἀπὸ ΕΓ κοινοῦ πάλιν ὕψους λαμβανομένης τῆς ΕΓ, καὶ ὡς ἄρα τὸ ὑπὸ ΚΘΔ πρὸς τὸ ἀπὸ ΘΔ, οὕτως τὸ ὑπὸ ΑΕΓ πρὸς τὸ ἀπὸ ΕΓ. ἐδείχθη δέ, ὡς τὸ ἀπὸ ΘΔ πρὸς τὸ ἀπὸ ΔΚ, οὕτως τὸ ἀπὸ ΕΓ πρὸς τὸ ἀπὸ ΓΑ· καὶ δι' ἴσου ἄρα, ὡς τὸ ὑπὸ ΚΘΔ πρὸς τὸ ἀπὸ ΚΔ, οὕτως τὸ ὑπὸ ΑΕΓ πρὸς τὸ ἀπὸ ΑΓ. καὶ ἀνάπαλιν· ὅπερ ἔδει δεῖξαι.




## Εἰς τὸ γ'.

Ὡς δὲ οἱ εἰρημένοι κύκλοι πρὸς ἀλλήλους, τὸ ἀπὸ ΑΔ πρὸς τὸ ἀπὸ ΔΒ, τουτέστιν ἡ ΑΓ πρὸς ΓΒ] ὡς γὰρ ἐν αὐτῇ τῇ τοῦ ῥητοῦ καταγραφῇ, ἐπεὶ ἐν ὀρθογωνίῳ τριγώνῳ τῷ ΑΔΒ κάθετος ἦκται καὶ ἀπὸ τῆς ὀρθῆς ἡ ΔΓ, μέση ἀνάλογόν ἐστι τῶν τῆς βάσεως τμημάτων, καὶ τὰ πρὸς τῇ καθέτῳ τρίγωνα ὅμοιά ἐστι τά τε ὅλῳ καὶ ἀλλήλοις· ὥστ' ἐστίν, ὡς ἡ ΒΓ πρὸς ΔΓ, ἡ ΒΔ πρὸς ΔΑ· καὶ τὰ ἀπ' αὐτῶν ἄρα. ἀλλ' ὡς τὸ ἀπὸ

quare etiam $K\Delta^2 : K\Theta \times \Theta\Delta = A\Gamma^2 : AE \times E\Gamma$] fingantur enim seorsum descriptae rectae $K\Delta$, $A\Gamma$, et sit

$$K\Theta : \Theta\Delta = AE : E\Gamma.$$

dico, esse etiam $K\Delta^2 : K\Theta \times \Theta\Delta = A\Gamma^2 : AE \times E\Gamma$. nam quoniam est $K\Theta : \Theta\Delta = AE : E\Gamma$, etiam componendo [Eucl. V, 18] erit $K\Delta : \Delta\Theta = A\Gamma : \Gamma E$; quare etiam

$$K\Delta^2 : \Delta\Theta^2 = A\Gamma^2 : E\Gamma^2.$$

rursus, quoniam est $K\Theta : \Theta\Delta = AE : E\Gamma$, sed

$$K\Theta : \Theta\Delta = K\Theta \times \Theta\Delta : \Theta\Delta^2$$

communi altitudine sumpta $\Theta\Delta$, et

$$AE : E\Gamma = AE \times E\Gamma : E\Gamma^2$$

rursus $E\Gamma$ communi altitudine sumpta, erit etiam

$$K\Theta \times \Theta\Delta : \Theta\Delta^2 = AE \times E\Gamma : E\Gamma^2.$$

sed demonstratum est, esse $\Theta\Delta^2 : \Delta K^2 = E\Gamma^2 : \Gamma A^2$; itaque ex aequo [Eucl. V, 21]

$$K\Theta \times \Theta\Delta : K\Delta^2 = AE \times E\Gamma : A\Gamma^2.$$

et e contrario [Eucl. V, 7 coroll.]

$$\langle K\Delta^2 : K\Theta \times \Theta\Delta = A\Gamma^2 : AE \times E\Gamma \rangle;$$

quod erat demonstrandum.

## Ad prop. III.

P. 184, 15—17: et quam rationem circuli, quos commemorauimus, inter se habent, eam habet $A\Delta^2$ ad $\Delta B^2$, hoc est $A\Gamma : \Gamma B$] nam in ipsa propositionis figura [I p. 187], quoniam in triangulo rectangulo $A\Delta B$ perpendicularis et ab angulo recto ducta est $\Delta\Gamma$, media est proportionalis inter partes basis, et trianguli ad perpendicularem positi similes sunt et toti et inter se [Eucl. VI, 8 cum coroll.]; quare $B\Gamma : \Delta\Gamma = B\Delta : \Delta A$; itaque etiam

---

**1** *ὑπὸ*] sub corr. ex ab B, *απο* A. **8** *ὡς*] addidi, om. AB. **9** *οὕτως*] AB, *ὡς Basil.* **13** $\Theta\Delta$] e corr. B, $\Theta\Delta$ AB. $AE$] in ras. B, $\Delta E$ A. **17** *ἀπὸ* $E\Gamma$] BE, ante $E\Gamma$ ras. B, *υπο* $\Delta E\Gamma$ A. **18** *ἀπὸ* (sec.)] $B^2$, om. AB. **19** $\Gamma\Delta$] e corr. B, $\Gamma\Delta$ AB. **25** *ἐν*] $AB^2$, om. B.

*ΒΓ πρὸς τὸ ἀπὸ ΓΔ, οὕτως ἡ πρώτη ἡ ΒΓ πρὸς τρίτην τὴν ΓΑ· καὶ ὡς ἄρα ἡ ΒΓ πρὸς ΓΑ, τὸ ἀπὸ ΒΔ πρὸς τὸ ἀπὸ ΔΑ.*

*Δοθεὶς δὴ λόγος τῆς ΑΓ πρὸς ΓΒ· ὥστε δοθέν ἐστι τὸ Γ σημεῖον] ἐπεὶ γὰρ ἡ σφαῖρα ὑπόκειται δεδομένη, δέδοται ἄρα καὶ ἡ διάμετρος αὐτῆς ἡ ΑΒ. καὶ δέδοται ὁ λόγος τῆς ΑΓ πρὸς ΓΒ· ἐὰν δὲ δεδομένον μέγεθος εἰς δεδομένον λόγον διαιρεθῇ, δέδοται ἑκάτερον τῶν τμημάτων· ὥστε δοθεῖσά ἐστιν ἡ ΑΓ. καὶ δοθὲν τὸ Α· ἐπὶ γὰρ τῆς κοινῆς τομῆς ἐστι θέσει δεδομένων γραμμῶν· δέδοται ἄρα καὶ τὸ Γ.*

## *Εἰς τὸ δ'.*

*Καὶ διὰ τὰ αὐτὰ τοῖς πρότερον διὰ τῆς κατασκευῆς, ὡς ἡ ΛΔ πρὸς ΔΚ, ἡ ΚΒ πρὸς ΒΡ καὶ ἡ ΔΧ πρὸς ΧΒ] ἐν γὰρ τῷ πρὸ τούτου συνήγετο οὕτως· ἐπεί ἐστιν, ὡς συναμφότερος ἡ ΚΔ, ΔΧ πρὸς ΔΧ, οὕτως ἡ ΡΧ πρὸς ΧΒ, διελόντι, ὡς ἡ ΚΔ πρὸς ΔΧ, ἡ ΡΒ πρὸς ΒΧ· ἐναλλάξ, ὡς ἡ ΚΔ, τουτέστιν ἡ ΚΒ, πρὸς ΒΡ, ἡ ΔΧ πρὸς ΧΒ. πάλιν, ἐπεί ἐστιν, ὡς ἡ ΛΧ πρὸς ΧΔ, οὕτως συναμφότερος ἡ ΚΒ, ΒΧ πρὸς ΧΒ, διελόντι καὶ ἐναλλάξ, ὡς ἡ ΛΔ πρὸς ΔΚ, ἡ ΔΧ πρὸς ΧΒ. ἦν δὲ καὶ, ὡς ἡ ΔΧ πρὸς ΧΒ, ἡ ΚΒ πρὸς ΒΡ· ὡς ἄρα ἡ ΛΔ πρὸς ΔΚ, ἡ ΔΧ πρὸς ΧΒ καὶ ἡ ΚΒ πρὸς ΒΡ.*

*Καὶ ὅλη ἄρα ἡ ΡΑ πρὸς ὅλην τὴν ΚΑ ἐστιν, ὡς ἡ ΚΑ πρὸς ΛΔ] ὡς γὰρ ἓν πρὸς ἕν, οὕτως ἅπαντα τὰ ἡγούμενα πρὸς ἅπαντα τὰ ἑπόμενα.*

*Ὡς ἄρα ἡ ΡΑ πρὸς ΛΔ, τὸ ἀπὸ ΚΑ πρὸς τὸ ἀπὸ ΛΔ] ἐπεὶ γάρ ἐστιν, ὡς ἡ ΡΑ πρὸς ΑΚ, ἡ ΚΑ πρὸς ΛΔ, καὶ ὡς ἄρα ἡ πρώτη πρὸς τὴν τρίτην, οὕτως τὸ*

$$B\Gamma^2 : \Delta\Gamma^2 = B\Delta^2 : \Delta A^2.$$

sed $B\Gamma^2 : \Gamma\Delta^2 = B\Gamma : \Gamma A$ [Eucl. V def. 10];

quare etiam $B\Gamma : \Gamma A = B\Delta^2 : \Delta A^2$.

P. 184, 17—18: data est ratio $A\Gamma : \Gamma B$; quare datum est $\Gamma$ punctum] nam quoniam sphaera supponitur data esse, etiam diametrus eius $AB$ data est [Eucl. Dat. def. 5]. et data est ratio $A\Gamma : \Gamma B$; sin data magnitudo in datam rationem diuiditur, utraque pars data est [Eucl. Dat. 7]; quare data est $A\Gamma$. et datum est $A$ [Eucl. Dat. 25]; est enim in communi sectione linearum positione datarum; quare etiam punctum $\Gamma$ datum est [Eucl. Dat. 27].

## Ad prop. IV.

P. 188, 6—8: et eodem modo, quo supra, per constructionem erit $\Delta\Delta : \Delta K = KB : BP = \Delta X : XB$] nam in propositione praecedenti[1]) sic concludebatur: quoniam $K\Delta + \Delta X : \Delta X = PX : XB$, dirimendo [Eucl. V, 17] est $K\Delta : \Delta X = PB : BX$; permutando [Eucl. V, 16] $K\Delta : BP$, h. e. $KB : BP = \Delta X : XB$.

rursus, quoniam $\Delta X : X\Delta = KB + BX : XB$, dirimendo et permutando [Eucl. V, 17, 16] $\Delta\Delta : \Delta K = \Delta X : XB$. erat autem etiam $\Delta X : XB = KB : BP$; itaque

$$\Delta\Delta : \Delta K = \Delta X : XB = KB : BP.$$

P. 188, 10—12: quare etiam $P\Delta : K\Delta = K\Delta : \Delta\Delta$] nam ut unus terminus ad unum, ita omnes praecedentes ad omnes sequentes [Eucl. V, 12].

P. 188, 12—13: erit igitur etiam

$$P\Delta : \Delta\Delta = K\Delta^2 : \Delta\Delta^2$$]

nam quoniam est $P\Delta : \Delta K = K\Delta : \Delta\Delta$, erit etiam, ut pri-

1) H. e. in prop. 2; u. uol. I p. 187 not. 1. respicitur ad uol. I p. 176, 1—6 et p. 178, 5—10.

2 τὸ ἀπὸ] B², η AB. 3 τὸ ἀπὸ] B², om. AB. 4—5 signa om. AB. 4 δή] scripsi, δε AB. 6 $AB$] B², $\Delta\Gamma$ AB. 7 δὲ] *Torellius*, om. AB. 14 $\Delta\Delta$] B, $\Delta\Delta$ A. 18 ἐναλλάξ] AB, καὶ ἐναλλάξ *Torellius*. 25 signa om. A, hab. B; item lin. 28.

ἀπὸ τῆς πρώτης πρὸς τὸ ἀπὸ τῆς δευτέρας· ἔστιν ἄρα, ὡς ἡ $PA$ πρὸς $A\Delta$, οὕτως τὸ ἀπὸ $PA$ πρὸς τὸ ἀπὸ $AK$. ἀλλ' ὡς τὸ ἀπὸ $PA$ πρὸς τὸ ἀπὸ $AK$, οὕτως τὸ ἀπὸ $AK$ πρὸς τὸ ἀπὸ $A\Delta$· ἀνάλογον γάρ εἰσιν· ὡς ἄρα ἡ $PA$ πρὸς $A\Delta$, οὕτως τὸ ἀπὸ $AK$ πρὸς τὸ ἀπὸ $A\Delta$.

Κείσθω τῇ $KB$ ἴση ἡ $BZ$· ὅτι γὰρ ἐκτὸς τοῦ $P$ πεσεῖται, δῆλον] ἐπεὶ γάρ ἐστιν, ὡς ἡ $X\Delta$ πρὸς $XB$, οὕτως ἡ $KB$ πρὸς $BP$, μείζων δὲ ἡ $\Delta X$ τῆς $XB$, μείζων ἄρα καὶ ἡ $KB$ τῆς $BP$. ἐκτὸς ἄρα τοῦ $P$ πίπτει τὸ $Z$.

Ἐπεὶ δὲ λόγος ἐστὶ τῆς $A\Delta$ πρὸς $A\Delta$ δοθεὶς καὶ τῆς $PA$ πρὸς $AX$, καὶ τῆς $PA$ ἄρα πρὸς $A\Delta$ λόγος ἐστὶ δοθείς] ἐπεὶ γάρ ἐστιν, ὡς συναμφότερος ἡ $KBX$ πρὸς $BX$, τουτέστιν ἡ $ZX$ πρὸς $XB$, οὕτως ἡ $AX$ πρὸς $X\Delta$, ἀναστρέψαντι, ὡς ἡ $XZ$ πρὸς $ZB$, οὕτως ἡ $X\Delta$ πρὸς $A\Delta$, καὶ ἀνάπαλιν, ὡς ἡ $BZ$ πρὸς $ZX$, ἡ $A\Delta$ πρὸς $AX$. δέδοται δὲ ὁ τῆς $BZ$ πρὸς $ZX$ λόγος, ἐπειδὴ ἡ μὲν $ZB$ ἴση ἐστὶ τῇ ἐκ τοῦ κέντρου τῆς δεδομένης σφαίρας, ἡ δὲ $BX$ τῶν $B$, $X$ περάτων αὐτῆς δεδομένων καθ' ὑπόθεσιν τετμημένης τῆς σφαίρας ὑπὸ τοῦ διὰ τῆς $A\Gamma$ ἐπιπέδου καὶ τῆς $\Delta B$ πρὸς ὀρθὰς οὔσης τῇ $A\Gamma$ δέδοται, καὶ διὰ τοῦτο καὶ ὅλη ἡ $XZ$ καὶ ὁ τῆς $XZ$ πρὸς $ZB$· ὥστε καὶ ὁ τῆς $X\Delta$ πρὸς $A\Delta$ λόγος ἐστὶν δοθείς. πάλιν, ἐπειδὴ δέδοται ὁ λόγος τῶν τμημάτων, καὶ ὁ τοῦ $AA\Gamma$ κώνου πρὸς τὸν $A\Gamma\Gamma$ κῶνον λόγος ἔσται δοθείς· ὥστε καὶ ὁ τῆς $AX$ πρὸς $XP$· πρὸς ἀλλήλους γάρ εἰσιν ὡς τὰ ὕψη· καὶ ὅλης ἄρα τῆς $PA$ πρὸς τὴν $AX$ λόγος ἐστὶ δοθείς. ἐπεὶ οὖν ἑκατέρας τῶν $PA$, $A\Delta$ πρὸς τὴν $AX$ λόγος ἐστὶ δοθείς, καὶ τῆς $PA$ ἄρα πρὸς $A\Delta$ λόγος ἐστὶ δοθείς· τὰ γὰρ πρὸς τὸ αὐτὸ λόγον ἔχοντα δεδομένον καὶ πρὸς ἄλληλα λόγον ἔχει δεδομένον.

mus ad tertium, ita quadratum primi ad quadratum secundi [Eucl. V def. 10]; itaque $P\Delta : \Delta\Delta = P\Delta^2 : \Delta K^2$. sed

$$P\Delta^2 : \Delta K^2 = \Delta K^2 : \Delta\Delta^2;$$

nam proportionales sunt; quare

$$P\Delta : \Delta\Delta = \Delta K^2 : \Delta\Delta^2.$$

P. 188, 20—21: et ponatur $BZ = KB$; nam extra $P$ punctum eam egressuram esse, adparet] nam quoniam

$$X\Delta : XB = KB : BP, \text{ et } \Delta X > XB,$$

erit etiam $KB > BP$; quare Z extra $P$ cadit.

P. 190, 2—4: et quoniam ratio $\Delta\Delta : \Delta X$ data est et ratio $P\Delta : \Delta X$, etiam ratio $P\Delta : \Delta\Delta$ data erit] nam quoniam est $KB + BX : BX$, h. e.

$$ZX : XB = \Delta X : X\Delta,$$

conuertendo [Eucl. V, 19 coroll.] erit $XZ : ZB = X\Delta : \Delta\Delta$, et e contrario [Eucl. V, 7 coroll.] $BZ : ZX = \Delta\Delta : \Delta X$. sed data est ratio $BZ : ZX$ [Eucl. Dat. 1], quoniam $ZB$ aequalis est radio datae sphaerae, et $BX$ data est [Eucl. Dat. 26] datis terminis eius $B$, $X$ [Eucl. Dat. 25], cum ex hypothesi sphaera secta sit plano per $A\Gamma$ posito, et $\Delta B$ ad $A\Gamma$ perpendicularis sit, et ideo etiam tota $XZ$ data est et ratio $XZ : ZB$; itaque etiam ratio $X\Delta : \Delta\Delta$ data est. rursus, quoniam data est ratio segmentorum, etiam ratio conorum $\Delta A\Gamma$, $APΓ$ data erit; quare etiam ratio $\Delta X : XP$; coni enim eam inter se rationem habent, quam altitudines; itaque etiam ratio $P\Delta : \Delta X$ data est [Eucl. Dat. 22]. quoniam igitur utraque ratio $P\Delta : \Delta X$ et $\Delta\Delta : \Delta X$ data est, etiam ratio $P\Delta : \Delta\Delta$ data; nam quae ad idem rationem datam habent, etiam inter se rationem datam habent [Eucl. Dat. 8].

---

5 $\Delta\Delta$ (pr.)] e corr. B, $\Delta\Delta$ AB. 7 $X\Delta$] *Basil.*, *dq* in ras. $B^2$, $H\Delta$ A. 16 $X\Delta$] e corr. B, XZ AB. 23 $X\Delta$] scripsi, $\Delta\Delta$ AB, $\Delta X$ *Basil.* $\Delta\Delta$] A, mut. in *lq* B. 25 τὸν] addidi, om. A.

*Ἐπεὶ οὖν ὁ τῆς ΡΔ πρὸς ΔΧ λόγος συνῆπται ἔκ τε τοῦ, ὃν ἔχει ἡ ΡΔ πρὸς ΔΔ, καὶ ἡ ΔΔ πρὸς ΔΧ] ὅτι μὲν ἡ σύνθεσις τῶν λόγων λαμβάνεται τῆς ΔΔ μέσης λαμβανομένης, ὡς κἂν τῇ Στοιχειώσει ἐλαμβάνετο, φανερόν· ἐπεὶ δὲ τὸ λεγόμενον ἀδιαρθρώτως πως καὶ οὐχ οὕτως, ὥστε τὴν ἔννοιαν ἀποπληρῶσαι, λέλεκται, ὡς ἔστιν εὑρεῖν ἐντυγχάνοντας Πάππῳ τε καὶ Θέωνι καὶ Ἀρκαδίῳ ἐν πολλοῖς συντάγμασιν οὐκ ἀποδεικτικῶς, ἀλλ' ἐπαγωγῇ τὸ λεγόμενον παριστῶσιν, οὐδὲν ἄτοπον πρὸς βραχὺ ἐνδιατρίψαντας τῷ λόγῳ τὸ σαφέστερον παραστῆσαι.*

*φημὶ τοίνυν, ὅτι, ἐὰν δύο ἀριθμῶν ἤτοι μεγεθῶν μέσος τις ὅρος ληφθῇ, ὁ τῶν ἐξ ἀρχῆς ληφθέντων ἀριθμῶν λόγος σύγκειται ἐκ τοῦ λόγου, ὃν ἔχει ὁ πρῶτος πρὸς τὸν μέσον, καὶ τοῦ, ὃν ἔχει ὁ μέσος πρὸς τὸν τρίτον.*

*ὑπομνηστέον δὴ πρότερον, πῶς ἐλέγετο λόγος ἐκ λόγων συγκεῖσθαι. ὡς γὰρ ἐν τῇ Στοιχειώσει· ὅταν αἱ τῶν λόγων πηλικότητες ἐφ' ἑαυτὰς πολλαπλασιασθεῖσαι ποιῶσίν τινα, πηλικότητος δηλονότι λεγομένης τοῦ ἀριθμοῦ, οὗ παρώνυμός ἐστιν ὁ διδόμενος λόγος, ὥς φασιν ἄλλοι τε καὶ Νικόμαχος ἐν τῷ πρώτῳ Περὶ μουσικῆς καὶ Ἡρώνας ἐν τῷ ὑπομνήματι τῷ εἰς τὴν Ἀριθμητικὴν εἰσαγωγήν, ταὐτὸν δὲ εἰπεῖν καὶ τοῦ ἀριθμοῦ τοῦ πολλαπλασιαζομένου ἐπὶ τὸν ἑπόμενον ὅρον τοῦ λόγου καὶ ποιοῦντος τὸν ἡγούμενον. καὶ κυριώτερον μὲν ἐπὶ τῶν πολλαπλασίων ἡ πηλικότης ἂν λαμβάνοιτο, ἐπὶ δὲ τῶν ἐπιμορίων ἢ ἐπιμερῶν οὐκέτι τὴν πηλικότητα δυνατὸν λαμβάνεσθαι ἀδιαιρέτου μενούσης τῆς μονάδος· ὥστ' ἐπ' ἐκείνων διαιρετέον τὴν μονάδα, ὃ εἰ καὶ μὴ κατὰ τὸ προσῆκον τῇ ἀριθμητικῇ ἀλλὰ τῇ λογιστικῇ τυγχάνει. διαιρεῖται δὲ ἡ μονὰς κατὰ τὸ μέρος ἢ τὰ μέρη, ἀφ' ὧν ὠνό-*

P. 190, 4—6: iam quoniam ratio $PA : \Delta X$ composita est ex rationibus $PA : \Delta\Delta$ et $\Delta\Delta : \Delta X$] compositionem rationum effici recta $\Delta\Delta$ media sumpta, sicut etiam in Elementis efficiebatur [Eucl. VI, 23], manifestum est; sed quoniam de hac re parum distincte disputatum est nec ita, ut notioni satis fiat, sicut intellegi potest, si Pappum, Theonem,[1]) Arcadium inspexeris, qui in multis scriptis id, quod quaerimus, non demonstrando, sed per inductionem tradunt, haud absurdum erit paullulum moratos rem magis perspicue tradere.[2])

dico igitur, si inter duos numeros uel magnitudines medium terminum sumpserimus, rationem numerorum ab initio sumptorum compositam esse ex ratione, quam habeat primus ad medium, et ea, quam habeat medius ad tertium.

prius igitur, quo modo ratio ex rationibus componi dicatur, in memoriam reuocandum. nam ut est in Elementis [VI def. 5]: si quantitates rationum inter se multiplicatae quantitatem aliquam efficiunt, ubi scilicet quantitas uocatur numerus, a quo denominatur ratio data, ut aiunt cum alii, tum Nicomachus in primo libro De musica et Heronas in commentario ad Institutionem arithmeticam ⟨Nicomachi⟩, hoc autem idem est, ac si dicimus, quantitatem uocari numerum, qui in terminum sequentem rationis multiplicatus antecedentem efficiat. et magis proprie in multiplis sumitur quantitas, in superparticularibus uero et superpartientibus quantitas sumi non potest, ita ut unitas indiuisa maneat; quare in iis diuidenda est unitas, quod si non arithmeticae, at certe logisticae consentaneum est. diuiditur autem unitas secundum partem uel partes, ex quibus denominatur ratio, ita ut sit,

1) Comm. in Ptolemaei Synt. p. 61 sq. ed. Basil.
2) De compositione rationum cfr. Eutocius in Apollonii Con. II p. 218 sq. (p. 218, 9 citatur hic locus).

1 sq. signa om. A, hab. B. 4 *κἀν*] A, in B. 22 *Ἡρώνας*] A, eron B, heron $B^2$. 24 *ἑπόμενον*] G, *επομενων* A. 27 *ἡ*] $AB^2$, om. B. 29 *δ*] addidi, om. AB.

μασται ὁ λόγος, ὥστε εἶναι ὡς ἐν σαφεστέρῳ τῷ λέγειν τοῦ μὲν ἡμιολίου λόγου πηλικότητα πρὸς τῇ μονάδι καὶ τὸ ἥμισυ τῆς μονάδος, τοῦ δὲ ἐπιτρίτου πρὸς τῇ μονάδι τὸ τρίτον, ὥστε, καθὰ καὶ ἀνωτέρῳ εἴρηται, τὴν πηλικότητα τοῦ λόγου ἐπὶ τὸν ἑπόμενον ὅρον πολλαπλασιαζομένην ποιεῖν τὸν ἡγούμενον. τοῦ γὰρ ἐννέα πρὸς τὰ ἓξ ἡμιολίου πηλικότης οὖσα ἡ μονὰς καὶ τὸ ἥμισυ πολλαπλασιασθεῖσα ἐπὶ τὸν ϛ ποιεῖ τὸν θ, καὶ ἐπὶ τῶν ἄλλων δὲ τὸ αὐτὸ ἔξεστι κατανοεῖν.

τούτων δὴ προσαφηνισθέντων ἐπανακτέον ἐπὶ τὸ προτεθέν. ἔστωσαν γὰρ οἱ δοθέντες δύο ἀριθμοὶ οἱ *A*, *B*, μέσος δὲ αὐτῶν εἰλήφθω τις ὁ *Γ*· δεικτέον δή, ὅτι ὁ τοῦ *A* πρὸς τὸν *B* λόγος συνῆπται ἐκ τοῦ, ὃν ἔχει ὁ *A* πρὸς τὸν *Γ*, καὶ ὁ *Γ* πρὸς τὸν *B*.

εἰλήφθω γὰρ τοῦ μὲν *A*, *Γ* λόγου πηλικότης ὁ *Δ*, τοῦ δὲ *Γ*, *B* ὁ *E*· ὁ ἄρα *Γ* τὸν *Δ* πολλαπλασιάσας τὸν *A* ποιεῖ, ὁ δὲ *B* τὸν *E* πολλαπλασιάσας τὸν *Γ*. ὁ δὴ *Δ* τὸν *E* πολλαπλασιάσας τὸν *Z* ποιείτω. λέγω, ὅτι ὁ *Z* πηλικότης ἐστὶ τοῦ τοῦ *A* πρὸς τὸν *B* λόγου, τουτέστιν, ὅτι ὁ *Z* τὸν *B* πολλαπλασιάσας τὸν *A* ποιεῖ. ὁ γὰρ *B* τὸν *Z* πολλαπλασιάσας τὸν *H* ποιείτω. ἐπεὶ οὖν ὁ *B* τὸν μὲν *Z* πολλαπλασιάσας τὸν *H* πεποίηκεν, τὸν δὲ *E* πολλαπλασιάσας τὸν *Γ*, ἔστιν ἄρα, ὡς ὁ *Z* πρὸς τὸν *E*, ὁ *H* πρὸς τὸν *Γ*. πάλιν, ἐπεὶ ὁ *Δ* τὸν μὲν *E* πολλαπλασιάσας τὸν *Z* πεποίηκεν, τὸν δὲ *Γ* πολλαπλασιάσας τὸν *A* πεποίηκεν, ἔστιν ἄρα, ὡς ὁ *E* πρὸς τὸν *Γ*, ὁ *Z* πρὸς τὸν *A*. ἐναλλάξ, ὡς ὁ *E* πρὸς τὸν *Z*, ὁ *Γ* πρὸς τὸν *A*, καὶ ἀνάπαλιν, ὡς ὁ *Z* πρὸς τὸν *E*, οὕτως ὁ *A* πρὸς τὸν *Γ*. ἀλλ' ὡς ὁ *Z* πρὸς τὸν *E*, ἐδείχθη ὁ *H* πρὸς τὸν *Γ*· καὶ ὡς ἄρα ὁ *H* πρὸς τὸν *Γ*, ὁ *A* πρὸς τὸν *Γ*· ἴσος ἄρα ὁ *A* τῷ *H*. ἀλλ' ὁ *B* τὸν *Z* πολλαπλασιάσας τὸν *H* πε-

ut planius loquamur, rationis sesquialterius quantitas praeter unitatem etiam dimidium unitatis, et rationis sesquitertiae quantitas praeter unitatem etiam pars tertia; ita enim, sicut etiam supra dictum est, quantitas rationis in terminum sequentem multiplicata antecedentem efficiet. nam unitas cum dimidio, quae quantitas est rationis sesquialterius 9 : 6, in 6 multiplicata efficit 9, et in ceteris quoque idem licet intellegere.

his igitur praemissis ad propositum reuertamur. duo enim numeri dati sint $A$, $B$, et medius inter eos sumatur $\Gamma$; demonstrandum igitur, rationem $A:B$ compositam esse ex rationibus $A:\Gamma$ et $\Gamma:B$.

sumatur enim rationis $A:\Gamma$ quantitas $\Delta$ et rationis $\Gamma:B$ quantitas $E$; itaque $\Gamma \times \Delta = A$ et $B \times E = \Gamma$. sit igitur $\Delta \times E = Z$. dico, Z quantitatem esse rationis $A:B$, h. e. esse $Z \times B = A$. sit enim $B \times Z = H$. iam quoniam

$$B \times Z = H \text{ et } B \times E = \Gamma,$$

erit $Z : E = H : \Gamma$. rursus, quoniam

$$\Delta \times E = Z \text{ et } \Delta \times \Gamma = A,$$

erit $E : \Gamma = Z : A$. tum permutando [Eucl. V, 16]

$$E : Z = \Gamma : A,$$




et e contrario [Eucl. V, 7 coroll.] $Z : E = A : \Gamma$. sed demonstratum est, esse $Z : E = H : \Gamma$; quare etiam

$$H : \Gamma = A : \Gamma;$$

itaque [Eucl. V, 9] $A = H$. erat autem $B \times Z = H$; ita-

---

**1** $\tau\tilde{\omega}$] fort. delendum. **2** $\tau o\tilde{\upsilon}$] G, $\tau o$ A. **11** $\gamma\grave{\alpha}\rho$] A, om. B. **19** $\tau o\tilde{\upsilon}\ \tau o\tilde{\upsilon}$] *Basil.*, $\tau o\upsilon$ A. **21** $\tau\grave{o}\nu$ Z] G, $\pi\rho o\varsigma\ \tau o\upsilon$ Z A. **27** $A$ (pr.)] e corr. BG, Z$A$ AB.

ποίηκεν· καὶ ὁ *B* ἄρα τὸν *Z* πολλαπλασιάσας τὸν *A* ποιεῖ· ὁ *Z* ἄρα πηλικότης ἐστὶ τοῦ τοῦ *A* πρὸς τὸν *B* λόγου. καὶ ἔστιν ὁ *Z* τοῦ *Δ* ἐπὶ τὸν *E* πολλαπλασιασθέντος, τουτέστι τῆς πηλικότητος τοῦ *A*, *Γ* λόγου ἐπὶ
1 τὴν πηλικότητα τοῦ *Γ*, *B* λόγου· ὁ ἄρα τοῦ *A* πρὸς τὸν *B* λόγος σύγκειται ἔκ τε τοῦ, ὃν ἔχει ὁ *A* πρὸς τὸν *Γ*, καὶ ὁ *Γ* πρὸς τὸν *B*· ὅπερ ἔδει δεῖξαι.

ἵνα δὲ καὶ ἐπὶ ὑποδείγματος φανερὸν γένηται τὸ εἰρημένον, παρεμπιπτέτω τοῦ $\overline{\iota\beta}$ καὶ τοῦ $\overline{\beta}$ μέσος τις ἀριθ-
10 μὸς ὁ $\overline{\delta}$. λέγω, ὅτι ὁ τοῦ $\overline{\iota\beta}$ πρὸς τὸν $\overline{\beta}$ λόγος, τουτέστιν ὁ ἐξαπλάσιος, σύγκειται ἔκ τε τοῦ τριπλασίου τοῦ $\overline{\iota\beta}$ πρὸς τὰ $\overline{\delta}$ καὶ τοῦ διπλασίου τοῦ $\overline{\delta}$ πρὸς τὰ $\overline{\beta}$.

ἐὰν γὰρ τὰς πηλικότητας τῶν λόγων πολλαπλασιάσωμεν ἐπ' ἀλλήλας, τουτέστι τὸν $\overline{\gamma}$ ἐπὶ τὸν $\beta$, γίνεται ὁ
15 $\overline{\xi}$ πηλικότης ὢν τοῦ $\overline{\iota\beta}$ πρὸς τὰ $\overline{\beta}$ λόγου, καί ἐστιν ἑξαπλάσιος, ὅνπερ καὶ προέκειτο ὑποδεῖξαι.

εἰ δὲ καὶ ὁ μέσος παρεμπίπτων μὴ ὑπάρχῃ τοῦ μὲν μείζονος ἐλάττων, τοῦ δὲ ἐλάττονος μείζων, ἀλλ' ἢ τὸ ἀνάπαλιν ἢ ἀμφοτέρων μείζων ἢ ἀμφοτέρων ἐλάττων, καὶ
20 οὕτως ἡ σύνθεσις ἡ προειρημένη ἀκολουθήσει. τοῦ $\overline{\vartheta}$ καὶ τοῦ $\overline{\xi}$ μέσος τις παρεμπιπτέτω ἀμφοτέρων μείζων ὁ $\overline{\iota\beta}$. λέγω, ὅτι ἔκ τε τοῦ ὑπεπιτρίτου τοῦ $\vartheta$ πρὸς τὸν $\overline{\iota\beta}$ λόγου καὶ τοῦ διπλασίου τοῦ $\overline{\iota\beta}$ πρὸς τὸν $\overline{\xi}$ σύγκειται ὁ ἡμιόλιος τοῦ $\vartheta$ πρὸς τὰ $\overline{\xi}$.

25 ἡ γὰρ πηλικότης τοῦ $\vartheta$ πρὸς τὸν $\overline{\iota\beta}$ λόγου ἐστὶ τρία τέταρτα, τουτέστιν ἥμισυ καὶ τέταρτον, ἡ δὲ πηλικότης τοῦ $\overline{\iota\beta}$ πρὸς τὸν $\overline{\xi}$ ἐστιν ὁ $\beta$. ἐὰν οὖν πολλαπλασιάσωμεν τὸν $\beta$ ἐπὶ τὸ ἥμισυ καὶ τέταρτον, γίνεται μονὰς ᾱ καὶ ἥμισυ, ἥτις πηλικότης ἐστὶ τοῦ ἡμιολίου λόγου, ὃν ἔχει
30 καὶ ὁ $\vartheta$ πρὸς τὸν $\overline{\xi}$. ὁμοίως δέ, κἂν τοῦ $\vartheta$ καὶ $\overline{\xi}$ μέσος ἐμπέσῃ ὁ $\overline{\delta}$, ἐκ τοῦ $\vartheta$ πρὸς $\overline{\delta}$ διπλασιεπιτετάρτου καὶ τοῦ

$\bar{\delta}$ πρὸς $\bar{\varsigma}$ ὑφημιολίου σύγκειται ὁ ἡμιόλιος λόγος. πάλιν 32
γὰρ τὴν πηλικότητα τοῦ διπλασιεπιτετάρτου τὰ $\bar{\beta}$ $\bar{\delta}$ ἐπὶ
τὴν πηλικότητα τοῦ ὑφημιολίου, τουτέστι τὰ δύο τρίτα, 34

---

que $B \times Z = A$; quare Z quantitas est rationis $A : B$. est autem $Z = \Delta \times E$, hoc est aequalis quantitati rationis $A : \Gamma$ in quantitatem rationis $\Gamma : B$ multiplicatae; itaque ratio $A : B$ composita est ex rationibus $A : \Gamma$ et $\Gamma : B$; quod erat demonstrandum.

uerum, ut etiam exemplo adpareat, quod diximus, sumatur inter 12 et 2 medius numerus 4. dico, rationem 12 : 2, h. e. sexcuplam, compositam esse ex ratione triplici 12 : 4 et duplici 4 : 2.

nam si quantitates rationum, h. e. 3 et 2, inter se multiplicauerimus, efficietur 6 quantitas rationis 12 : 2, et sexcupla erit, quam ipsam inuenire propositum erat.

sin numerus, qui medius sumitur, maiore minor et maior minore non est, sed aut utroque maior aut utroque minor, sic quoque compositio, quam significauimus, sequetur. inter 9 et 6 medius sumatur numerus 12 utroque maior. dico, rationem sesquialteram 9 : 6 compositam esse ex ratione subsesquitertia 9 : 12 et duplici 12 : 6.

nam quantitas rationis 9 : 12 est $\frac{3}{4}$, h. e. $\frac{1}{2} + \frac{1}{4}$, quantitas autem rationis 12 : 6 est 2. si igitur multiplicauerimus 2 in $\frac{1}{2} + \frac{1}{4}$, efficietur $1 + \frac{1}{2}$, quantitas rationis sesquialterius, quam habet 9 : 6. et similiter etiam, si inter 9 et 6 medius sumitur 4, ratio sesquialtera composita est ex ratione duplici sesquiquarta 9 : 4 et subsesquialtera 4 : 6. rursus enim, si quantitatem rationis duplicis sesquiquartae $2 + \frac{1}{4}$ in quan-

---

**2** τοῦ τοῦ] *Basil.*, του AB. **3** λόγον] BG, λογον A. **6** *B*] e corr. B, mg. G; Θ A. **8** καί] AB², om. B. **12** τὰ (utr.)] τὸν *Torellius*. **14** τὸν (alt.)] G, το A. **15** τὰ] τὸν *Torellius*. καί] A, om. B. **17** τὸ ἀνάπαλιν ἤ] AB, fort. delenda; sed fieri potest, ut Eutocius ipse dormitauerit. **21** καὶ τοῦ $\bar{\varsigma}$] ad 6 B. **23** πρὸς] BG, om. A. **24** τὰ] τὸν *Torellius*. **30** καί] A, om. B. καὶ $\bar{\varsigma}$] A, et 6 e corr. B². **33** $\bar{\beta}$ $\bar{\delta}$'] A, 2 et quartam B.

πολλαπλασιάσαντες ἕξομεν τὸ ἓν ἥμισυ πηλικότητα τοῦ ἡμιολίου, ὡς εἴρηται, λόγου. καὶ ἐπὶ πάντων δὲ ὁμοίως ὁ αὐτὸς ἁρμόσει λόγος.

συμφανὲς δὲ ἐκ τῶν εἰρημένων, ὡς, ἐὰν δύο δοθέντων ἀριθμῶν ἤτοι μεγεθῶν κἂν μὴ εἷς μέσος, πλείους δέ, παρεμπίπτωσιν ὅροι, ὁ τῶν ἄκρων λόγος σύγκειται ἐκ πάντων τῶν λόγων, ὧν ἔχουσιν οἱ κατὰ τὸ ἑξῆς κείμενοι ὅροι ἀρχόμενοι ἀπὸ πρώτου καὶ λήγοντες εἰς τὸν ἔσχατον τῇ κατὰ τοὺς ἐχομένους τάξει.

δύο γὰρ ὄντων ὅρων τῶν *A*, *B* παρεμπιπτέτωσαν πλείους ἑνὸς οἱ *Γ*, *Δ*. λέγω, ὅτι ὁ τοῦ *A* πρὸς τὸν *B* λόγος σύγκειται ἔκ τε τοῦ, ὃν ἔχει ὁ *A* πρὸς τὸν *Γ*, καὶ ὁ *Γ* πρὸς τὸν *Δ*, καὶ ὁ *Δ* πρὸς τὸν *B*.

ἐπεὶ γὰρ ὁ τοῦ *A* πρὸς τὸν *B* σύγκειται ἔκ τε τοῦ, ὃν ἔχει ὁ *A* πρὸς τὸν *Δ*, καὶ ὁ *Δ* πρὸς τὸν *B*, ὡς ἀνωτέρω εἴρηται, ὁ δὲ τοῦ *A* πρὸς τὸν *Δ* λόγος σύγκειται ἔκ τε τοῦ, ὃν ἔχει ὁ *A* πρὸς τὸν *Γ*, καὶ ὁ *Γ* πρὸς τὸν *Δ*, ὁ ἄρα τοῦ *A* πρὸς τὸν *B* λόγος συνῆπται ἔκ τε τοῦ, ὃν ἔχει ὁ *A* πρὸς τὸν *Γ*, καὶ ὁ *Γ* πρὸς τὸν *Δ*, καὶ ὁ *Δ* πρὸς τὸν *B*. ὁμοίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν δειχθήσεται.

Ἔτι ἐν τῷ ῥητῷ φησιν.

Ἀλλ' ὡς μὲν ἡ *PΛ* πρὸς *ΛΔ*, ἐδείχθη τὸ ἀπὸ *BΔ* πρὸς τὸ ἀπὸ *ΔX*] ἐπεὶ γὰρ δέδεικται, ὡς ἡ *PΛ* πρὸς *ΛΔ*, τὸ ἀπὸ *ΛK* πρὸς τὸ ἀπὸ *ΔΛ*, ὡς δὲ τὸ ἀπὸ *KΛ* πρὸς τὸ ἀπὸ *ΛΔ*, οὕτως τὸ ἀπὸ *BΔ* πρὸς τὸ ἀπὸ *ΔX*· ἐδείχθη γάρ, ὡς ἡ *KΛ* πρὸς *ΛΔ*, ἡ *BΔ* πρὸς *ΔX* διὰ τοῦ συνθέντι· ὡς ἄρα ἡ *PΛ* πρὸς *ΛΔ*, τὸ ἀπὸ *BΔ* πρὸς τὸ ἀπὸ *ΔX*.

Πεποιήσθω δέ, ὡς ἡ *PΛ* πρὸς *ΛX*, ἡ *BZ* πρὸς *ZΘ*] τὸ *Θ* σημεῖον ὅπως ποτὲ μὲν ἐὰν τεθῇ, ὅσον πρὸς τὴν ἀκολουθίαν τῆς ἀποδείξεως κατ' οὐδὲν ἐμποδὼν γί-

titatem subsesquialterius, h. e. $\frac{3}{2}$, multiplicauerimus, habebimus $1+\frac{1}{2}$, quantitatem rationis sesquialterius, uti diximus. et in omnibus eadem ratio ualebit.

adparet autem ex iis, quae diximus, etiam, si inter duos datos numeros uel magnitudines non unus, sed plures medii sumantur termini, sic quoque rationem extremorum compositam esse ex omnibus rationibus, quas habeant termini deinceps positi a primo incipientes et in extremo desinentes secundum ordinem terminorum deinceps sequentium.

nam inter duos terminos $A$, $B$ sumantur plures uno $\Gamma$, $\Delta$. dico, rationem $A:B$ compositam esse ex $A:\Gamma$ et $\Gamma:\Delta$ et $\Delta:B$.




quoniam enim ratio $A:B$ composita est ex $A:\Delta$ et $\Delta:B$, ut supra dictum est, ratio autem $A:\Delta$ ex $A:\Gamma$ et $\Gamma:\Delta$, ratio $A:B$ composita est ex $A:\Gamma$ et $\Gamma:\Delta$ et $\Delta:B$. et similiter etiam in ceteris demonstrabitur.

porro in uerbis Archimedis est:

P. 190, 6—7: sed demonstratum est, esse

$$P\Delta : \Delta\Delta = B\Delta^2 : \Delta X^2]$$

nam quoniam demonstratum est, esse

$$P\Delta : \Delta\Delta = \Delta K^2 : \Delta\Delta^2 \text{ [I p. 188, 12—13]},$$

et $K\Delta^3 : \Delta\Delta^2 = B\Delta^2 : \Delta X^2$ (nam demonstratum est, esse componendo [I p. 188, 15—16] $K\Delta : \Delta\Delta = B\Delta : \Delta X$), erit

$$P\Delta : \Delta\Delta = B\Delta^2 : \Delta X^2.$$

P. 190, 10—11: fiat autem $P\Delta : \Delta X = BZ : Z\Theta$] quo modo punctum $\Theta$ ponatur, quod ad demonstrationis tenorem adtinet, nihil refert ratiocinationis; uerum id semper inter

---

**1** ἥμισυ] A, et dimidium B. **11** πλείους ἑνὸς] A, om. B. **19** ἔχει] A, om. B. **26** $\Delta X$ (pr.)] *Basil.*, $BX$ AB. **29** signa om. A, hab. B.

νεται τῷ λόγῳ· ὅτι δέ, καθὰ ἐν τῇ καταγραφῇ κεῖται, ἀεὶ μεταξὺ τῶν B, P πίπτει, οὕτως ἔσται δῆλον. ἐπεὶ γάρ ἐστιν, ὡς ἡ ΛK πρὸς ΔK, τουτέστι πρὸς KB, οὕτως ἡ KP πρὸς PB, καὶ ὡς ἄρα ἓν πρὸς ἕν, οὕτως ἅπαντα πρὸς ἅπαντα, ὡς ἡ ΛP πρὸς PK, ἡ KP πρὸς PB. μείζονα δὲ λόγον ἔχει ἡ ΛP πρὸς PX ἤπερ ἡ ΛP πρὸς PK· καὶ ἡ ΛP ἄρα πρὸς PX μείζονα λόγον ἔχει ἤπερ ἡ KP πρὸς BP, τουτέστιν ἡ ZB πρὸς BP. ἀναστρέψαντι ἡ PΛ πρὸς ΛX ἐλάσσονα ἔχει λόγον ἤπερ ἡ BZ πρὸς ZP. ἐὰν ἄρα ποιήσωμεν, ὡς ἡ PΛ πρὸς ΛX, οὕτως τὴν BZ πρὸς ἄλλην τινά, ἔσται πρὸς μείζονα τῆς ZP.

φανερὸν δὲ αὐτόθεν, ὅτι ἡ ZΘ τῆς ΘB μείζων ἐστίν. ἐπεὶ γὰρ δέδεικται, ὡς ἡ ΛΔ πρὸς ΔK, ἡ ΔX πρὸς XB καὶ ἡ KB πρὸς BP, μείζων δὲ ἡ ΔX τῆς XB, μείζων ἄρα καὶ ἡ ΛΔ τῆς ΔK καὶ ἡ KB τῆς BP· ὥστε καὶ ἡ ΛΔ τῆς BP. καὶ ὅλη ἄρα ἡ ΛX τῆς XP μείζων ἐστίν· ὥστε καὶ ἡ ΘZ τῆς ΘB.

Λοιπὸν ἄρα ἐστίν, ὡς τὸ ἀπὸ BΔ, τουτέστι τὸ δοθέν, πρὸς τὸ ἀπὸ ΔX, οὕτως ἡ ZX πρὸς ZΘ] ἐπεὶ γὰρ τῷ τῆς BZ πρὸς ΘZ λόγῳ ὁ αὐτὸς ἐδείχθη ὁ συγκείμενος ἐκ τοῦ τοῦ ἀπὸ BΔ πρὸς τὸ ἀπὸ ΔX καὶ τῆς BZ πρὸς ZX, τῷ δὲ αὐτῷ τῷ τῆς BZ πρὸς ZΘ ὁ αὐτός ἐστι καὶ ὁ συγκείμενος ἐκ τοῦ τῆς BZ πρὸς ZX καὶ τῆς XZ πρὸς ZΘ, καὶ ὁ συγκείμενος ἄρα ἐκ τοῦ τοῦ ἀπὸ BΔ πρὸς τὸ ἀπὸ ΔX καὶ τοῦ τῆς BZ πρὸς ZX λόγος ὁ αὐτός ἐστι τῷ συγκειμένῳ ἐκ τοῦ τῆς BZ πρὸς ZX καὶ τοῦ τῆς XZ πρὸς ZΘ. ἐὰν οὖν τὸν ἐν ἀμφοτέροις τοῖς λόγοις κοινὸν ἀφέλωμεν τὸν τῆς BZ πρὸς XZ,

5 *KP*] *Basil.*, *KB* AB. 8 *KP*] *Basil.*, *KB* AB. 10 ἡ] addidi, om. AB. 21 τοῦ τοῦ] $B^2$, του AB. ΔX] e corr. $B^2$, ΔK A. 22 τῆς (pr.)] AB, τοῦ τῆς *Torellius*. ZX] $B^2$,

puncta $B$, $P$ cadere, sicut in figura [I p. 193] positum est, sic erit manifestum. quoniam enim est

$$\Delta K : \Delta K, \text{ h. e. } \Delta K : KB, = KP : PB,^{1})$$

erit etiam, ut unus terminus ad unum, ita omnes ad omnes [Eucl. V, 12], $KP : PB = \Delta P : PK$. sed

$$\Delta P : PX > \Delta P : PK;$$

quare etiam $\Delta P : PX > KP : BP$, h. e. $\Delta P : PX > ZB : BP$.[2]) conuertendo [Eucl. V, 19 coroll.] $P\Delta : \Delta X < BZ : ZP$.[3]) si igitur fecerimus, ut $P\Delta : \Delta X$, ita $BZ$ ad aliam rectam, erit ad rectam maiorem recta $ZP$.[4])

hinc autem statim adparet, esse $Z\Theta > \Theta B$. nam quoniam demonstratum est, esse

$$\Delta\Delta : \Delta K = \Delta X : XB = KB : BP \text{ [I p. 188, 7—8]},$$

et $\Delta X > XB$, erit etiam $\Delta\Delta > \Delta K$ et $KB > BP$; quare etiam $\Delta\Delta > BP$. itaque tota $\Delta X > XP$; quare etiam

$$\Theta Z > \Theta B.^{5})$$

P. 190, 19—21: itaque quod relinquitur $B\Delta^2$, hoc est spatium datum, ad $\Delta X^2$ eam rationem habet, quam $ZX$ ad $Z\Theta$] nam quoniam demonstratum est, esse

$$(B\Delta^2 : \Delta X^2) \asymp (BZ : ZX) = BZ : \Theta Z \text{ [I p. 190, 14—16]},$$

sed etiam $BZ : Z\Theta = (BZ : ZX) \asymp (XZ : Z\Theta)$, erit etiam

$$(B\Delta^2 : \Delta X^2) \asymp (BZ : ZX) = (BZ : ZX) \asymp (XZ : Z\Theta).$$

---

1) Componendo ex $\Delta\Delta : K\Delta = KB : BP$ (I p. 188, 7).

2) Nam $ZB = KB$ (I p. 188, 20) $< KP$; tum u. Eucl. V, 8.

3) Cfr. Pappus VII, 48 p. 686.

4) Itaque $Z\Theta > ZP$. sed cum $P\Delta > \Delta X$, erit $BZ > Z\Theta$; itaque $\Theta$ punctum inter $B$ et $P$ cadit.

5) Nam $P\Delta : \Delta X = BZ : Z\Theta$ (I p. 190, 10—11); unde dirimendo [Eucl. V, 17] $XP : \Delta X = B\Theta : Z\Theta$.

---

ZK A. **23** $ZX$] $B^2$, ZK A. **24** *τῆς*] AB, *τοῦ τῆς Torellius.* *τοῦ τοῦ*] $B^2$, *του* AB. **25** $\Delta X$] $B^2$, $\Delta K$ A. $ZX$] $B^2$, ZK AB. **27** $ZX$] $B^2$, $BX$ AB. **28** $XZ$] $B^2$, $BZ$ A, $ZX$ *Basil.*

λοιπὸς ὁ τοῦ ἀπὸ $B\Delta$ πρὸς τὸ ἀπὸ $\Delta X$ λόγος ὁ αὐτός ἐστι τῷ τῆς $XZ$ πρὸς $Z\Theta$.

Καὶ δὴ δοθεῖσαν τὴν $\Delta Z$ τεμεῖν δεῖ κατὰ τὸ $X$ καὶ ποιεῖν, ὡς τὴν $XZ$ πρὸς δοθεῖσαν· τουτέστι τὴν $Z\Theta$· οὕτως τὸ δοθέν· τουτέστι τὸ ἀπὸ $B\Delta$· πρὸς τὸ ἀπὸ $\Delta X$. τοῦτο δὲ οὕτως ἁπλῶς μὲν λεγόμενον ἔχει διορισμόν, προστιθεμένων δὲ τῶν προβλημάτων τῶν ἐνθάδε ὑπαρχόντων· τουτέστι τοῦ τε διπλασίαν εἶναι τὴν $\Delta B$ τῆς $BZ$ καὶ τοῦ μείζονα τὴν $BZ$ τῆς $Z\Theta$, ὡς κατὰ τὴν ἀνάλυσιν· οὐκ ἔχει διορισμόν· καὶ ἔσται τὸ πρόβλημα τοιοῦτον· δύο δοθεισῶν εὐθειῶν τῶν $\Delta B$, $BZ$ καὶ διπλασίας οὔσης τῆς $\Delta B$ τῆς $BZ$ καὶ σημείου ἐπὶ τῆς $BZ$ τοῦ $\Theta$ τεμεῖν τὴν $\Delta B$ κατὰ τὸ $X$ καὶ ποιεῖν, ὡς τὸ ἀπὸ $\Delta B$ πρὸς τὸ ἀπὸ $\Delta X$, τὴν $XZ$ πρὸς $Z\Theta$· ἑκάτερα δὲ ταῦτα ἐπὶ τέλει ἀναλυθήσεται καὶ συντεθήσεται] ἐπὶ τέλει μὲν τὸ προρηθὲν ἐπηγγείλατο δεῖξαι, ἐν οὐδενὶ δὲ τῶν ἀντιγράφων εὑρεῖν ἔνεστι τὸ ἐπάγγελμα. ὅθεν καὶ Διονυσόδωρον μὲν εὑρίσκομεν μὴ τῶν αὐτῶν ἐπιτυχόντα, ἀδυνατήσαντα δὲ ἐπιβαλεῖν τῷ καταλειφθέντι λήμματι, ἐφ' ἑτέραν ὁδὸν τοῦ ὅλου προβλήματος ἐλθεῖν, ἥντινα ἐξῆς γράψομεν· Διοκλῆς μέντοι καὶ αὐτὸς ἐν τῷ Περὶ πυρίων αὐτῷ συγγεγραμμένῳ βιβλίῳ ἐπηγγέλθαι νομίζων τὸν Ἀρχιμήδη, μὴ πεποιηκέναι δὲ τὸ ἐπάγγελμα, αὐτὸς ἀναπληροῦν ἐπεχείρησεν, καὶ τὸ ἐπιχείρημα ἐξῆς γράψομεν· ἔστιν γὰρ καὶ αὐτὸ οὐδένα μὲν ἔχον πρὸς τὰ παραλελειμμένα λόγον, ὁμοίως δὲ τῷ Διονυσοδώρῳ δι' ἑτέρας ἀποδείξεως κατασκευάζον τὸ πρόβλημα. ἔν τινι μέντοι παλαιῷ βιβλίῳ· οὐδὲ γὰρ

1 τὸ] G, om. A. 3 signa om. A, hab. B. δὴ] *Basil.*, εσται comp. A, erit B, del. $B^2$. τὴν] *Basil.*, της A. δεῖ] e corr. E,

si igitur rationem $BZ : XZ$ utrique communem remouerimus,[1]) quae relinquitur ratio $B\Delta^2 : \Delta X^2$, aequalis erit rationi

$$XZ : Z\Theta.$$

P. 190, 22—192, 6: datam igitur rectam $\Delta Z$ secare oportet in puncto $X$ ita, ut sit, sicut $XZ$ ad rectam datam (h. e. $Z\Theta$), ita datum spatium (h. e. $B\Delta^2$) ad $\Delta X^2$. hoc si ita indefinite proponitur, determinationem habet, sed adiunctis condicionibus, quae hoc loco exstant (h. e. esse $\Delta B = 2BZ$ et $BZ > Z\Theta$, ut ex analysi adparuit), determinationem non habet; et erit problema huiusmodi: datis duabus rectis $\Delta B$ et $BZ$, quarum $\Delta B$ duplo maior est recta $BZ$, et puncto $\Theta$ in recta $BZ$ rectam $\Delta B$ in puncto $X$ ita secare, ut fiat $\Delta B^2 : \Delta X^2 = XZ : Z\Theta$; quorum utrumque in fine resoluetur et componetur] promisit ille quidem, se in fine demonstraturum esse, quae dicta sunt, sed in nullo codice inueniri potuit, quod promisit. quare etiam Dionysodorum, quippe qui eadem desideraret nec lemma praetermissum excogitare posset, aliam totius problematis rationem iniisse reperimus, quam infra perscribemus; Diocles autem ipse quoque in eo libro, quem scripsit De speculis causticis, ratus, Archimedem promisisse illum quidem, sed promissum non praestitisse, ipse id supplere conatus est, et conatum eius deinceps perscribemus; nam quamquam ipse quoque cum praetermissis nihil commune habet, tamen, sicut Dionysodori, problema alia demonstratione conficit. sed in libro quodam uetusto (neque enim multa perscrutari supersedebam) incidi

1) Non subtrahendo, quod uulgo hoc uocabulo significatur, sed diuidendo.

---

δη A, om. B, oportet supra scr. $B^2$. **6** οὕτως] comp. A, non B, ita $B^2$. **10** hinc signa adp. etiam A. **11** τὸ] I p. 190, 29; om. A. **16** καὶ] A, τε καὶ I p. 192, 6. **18** τὸ] BG, δε το A. **23** καὶ αὐτὸς] EH, και αυτο A, om. B. πυρίων] A; lac. B, mg. πυριων; pyriis $B^2$. **24** μὴ] scripsi, μητε A, non B, μήποτε *Basil.* **27** παραλελειμμένα] BH, παραλελημ(μ)ενα A. **28** κατασκευάζον] scripsi, κατασκευαζων A.

τῆς εἰς πολλὰ ζητήσεως ἀπέστημεν· ἐντετύχαμεν θεωρήμασι γεγραμμένοις οὐκ ὀλίγην μὲν τὴν ἐκ τῶν πταισμάτων ἔχουσιν ἀσάφειαν περί τε τὰς καταγραφὰς πολυτρόπως ἡμαρτημένοις, τῶν μέντοι ζητουμένων εἶχον τὴν ὑπόστασιν, ἐν μέρει δὲ τὴν Ἀρχιμήδει φίλην Δωρίδα γλῶσσαν ἀπέσωζον καὶ τοῖς συνήθεσι τῷ ἀρχαίῳ τῶν πραγμάτων ὀνόμασιν ἐγέγραπτο τῆς μὲν παραβολῆς ὀρθογωνίου κώνου τομῆς ὀνομαζομένης, τῆς δὲ ὑπερβολῆς ἀμβλυγωνίου κώνου τομῆς, ὡς ἐξ αὐτῶν διανοεῖσθαι, μὴ ἄρα καὶ αὐτὰ εἴη τὰ ἐν τῷ τέλει ἐπηγγελμένα γράφεσθαι. ὅθεν σπουδαιότερον ἐντυγχάνοντες αὐτὸ μὲν τὸ ῥητόν, ὡς γέγραπται, διὰ πλῆθος, ὡς εἴρηται, τῶν πταισμάτων δυσχερὲς εὑρόντες τὰς ἐννοίας κατὰ μικρὸν ἀποσυλήσαντες κοινοτέρᾳ καὶ σαφεστέρᾳ κατὰ τὸ δυνατὸν λέξει γράφομεν. καθόλου δὲ πρῶτον τὸ θεώρημα γραφήσεται, ἵνα τὸ λεγόμενον ὑπ' αὐτοῦ σαφηνισθῇ περὶ τῶν διορισμῶν· εἶτα καὶ τοῖς ἀναλελυμένοις ἐν τῷ προβλήματι προσαρμοσθήσεται.

*Εὐθείας δοθείσης τῆς AB καὶ ἑτέρας τῆς AΓ καὶ χωρίου τοῦ Δ προκείσθω λαβεῖν ἐπὶ τῆς AB σημεῖον ὡς τὸ E, ὥστε εἶναι, ὡς τὴν AE πρὸς AΓ, οὕτω τὸ Δ χωρίον πρὸς τὸ ἀπὸ EB.*

*γεγονέτω, καὶ κείσθω ἡ AΓ πρὸς ὀρθὰς τῇ AB, καὶ ἐπιζευχθεῖσα ἡ ΓE διήχθω ἐπὶ τὸ Z, καὶ ἤχθω διὰ τοῦ Γ τῇ AB παράλληλος ἡ ΓH, διὰ δὲ τοῦ B τῇ AΓ παράλληλος ἡ ZBH συμπίπτουσα ἑκατέρᾳ τῶν ΓE, ΓH, καὶ συμπεπληρώσθω τὸ HΘ παραλληλόγραμμον, καὶ διὰ τοῦ E ὁποτέρᾳ τῶν ΓΘ, HZ παράλληλος ἤχθω ἡ KEΛ, καὶ τῷ Δ ἴσον ἔστω τὸ ὑπὸ ΓHM. ἐπεὶ οὖν ἐστιν, ὡς ἡ EA πρὸς AΓ, οὕτως τὸ Δ πρὸς τὸ ἀπὸ EB, ὡς δὲ ἡ*

$EA$ πρὸς $A\Gamma$, οὕτως ἡ $\Gamma H$ πρὸς $HZ$, ὡς δὲ ἡ $\Gamma H$ 32
πρὸς $HZ$, οὕτως τὸ ἀπὸ $\Gamma H$ πρὸς τὸ ὑπὸ $\Gamma HZ$,
ὡς ἄρα τὸ ἀπὸ $\Gamma H$ πρὸς τὸ ὑπὸ $\Gamma HZ$, οὕτως τὸ 34

in theoremata quaedam ibi perscripta, quae propter errores non minimam habebant obscuritatem et in figuris multifariam mendosa erant, praestabant autem, quod quaerimus, et aliqua ex parte sermonem Doricum Archimedi adsuetum seruabant scriptaque erant cum nominibus in antiqua harum rerum disciplina usitatis, cum parabola uocaretur coni rectanguli sectio, hyperbola coni obtusianguli sectio; unde orta est suspicio, ea ipsa esse, quae in fine perscripturum se esse promisisset. quare adcuratius incumbens, cum ipsa uerba, sicut scripta sunt, propter eam, quam dixi, mendorum copiam obscuriora inuenissem, sententias singulatim excerptas sermone, quantum potui, usitatiore et clariore perscripsi. primum autem theorema uniuersaliter perscribetur, ut adpareat, quod de determinationibus dixit; deinde etiam ad ea, quae in analysi problematis dicta sunt, adplicabitur.

„Data recta $AB$ et alia recta $A\Gamma$ et spatio $\Delta$ propositum sit, ut in recta $AB$ punctum sumamus, uelut $E$, ita ut sit $AE : A\Gamma = \Delta : EB^2$.

factum sit, et ponatur $A\Gamma$ ad $AB$ perpendicularis, rectaque $\Gamma E$ ducta producatur ad $Z$, et per $\Gamma$ rectae $AB$ parallela ducatur recta $\Gamma H$, per $B$ autem rectae $A\Gamma$ parallela recta $ZBH$ cum utraque recta $\Gamma E$, $\Gamma H$ concurrens, et expleatur parallelogrammum $H\Theta$, per $E$ autem utrique rectae $\Gamma\Theta$, $HZ$ parallela ducatur $KEA$, et spatio $\Delta$ aequale sit $\Gamma H \times HM$. iam quoniam est $EA : A\Gamma = \Delta : EB^2$, et

$$EA : A\Gamma = \Gamma H : HZ,$$

et $\Gamma H : HZ = \Gamma H^2 : \Gamma H \times HZ$, erit

**1** ἐντετύχαμεν] H, ενετυχαμεν A. **4** εἶχον] A, habens B. **6** ἀπέσωζον] A, saluans B, seruans $B^2$. **7** ἐγέγραπτο] H, εγγεγραπτο AB. **10** αὐτὰ] scripsi, αυτος AB. γράφεσθαι] A, (qui...) scribit B, ἐπερχόμενος γράφεσθαι *Torellius*. **12** γέγραπται] scriptus erat post ras. B. **26** ZBH] H, ZHB A, hbz B. **27** τὸ] G, e corr. E; τω A. **32** ἡ ΓH (pr.)] e corr. $B^2$, το απο ΓH A.

*Δ πρὸς τὸ ἀπὸ ΕΒ, τουτέστι πρὸς τὸ ἀπὸ ΚΖ· καὶ ἐναλλάξ, ὡς τὸ ἀπὸ ΓΗ πρὸς τὸ Δ, τουτέστι πρὸς τὸ ὑπὸ ΓΗΜ, οὕτως τὸ ὑπὸ ΓΗΖ πρὸς τὸ ἀπὸ ΖΚ. ἀλλ' ὡς τὸ ἀπὸ ΓΗ πρὸς τὸ ὑπὸ ΓΗΜ, οὕτως ἡ ΓΗ πρὸς ΗΜ· καὶ ὡς ἄρα ἡ ΓΗ πρὸς ΗΜ, οὕτως τὸ ὑπὸ ΓΗΖ πρὸς τὸ ἀπὸ ΖΚ. ἀλλ' ὡς ἡ ΓΗ πρὸς ΗΜ, τῆς ΗΖ κοινοῦ ὕψους λαμβανομένης οὕτως τὸ ὑπὸ ΓΗΖ πρὸς τὸ ὑπὸ ΜΗΖ· ὡς ἄρα τὸ ὑπὸ ΓΗΖ πρὸς τὸ ὑπὸ ΜΗΖ, οὕτως τὸ ὑπὸ ΓΗΖ πρὸς τὸ ἀπὸ ΖΚ· ἴσον ἄρα τὸ ὑπὸ ΜΗΖ τῷ ἀπὸ ΖΚ. ἐὰν ἄρα περὶ ἄξονα τὴν ΖΗ γραφῇ διὰ τοῦ Η παραβολή, ὥστε τὰς καταγομένας δύνασθαι παρὰ τὴν ΗΜ, ἥξει διὰ τοῦ Κ, καὶ ἔσται θέσει δεδομένη διὰ τὸ δεδομένην εἶναι τὴν ΗΜ τῷ μεγέθει περιέχουσαν μετὰ τῆς ΗΓ δεδομένης δοθὲν τὸ Δ· τὸ ἄρα Κ ἅπτεται θέσει δεδομένης παραβολῆς. γεγράφθω οὖν, ὡς εἴρηται, καὶ ἔστω ὡς ἡ ΗΚ. πάλιν, ἐπειδὴ τὸ ΘΛ χωρίον ἴσον ἐστὶ τῷ ΓΒ, τουτέστι τὸ ὑπὸ ΘΚΛ τῷ ὑπὸ ΑΒΗ, ἐὰν διὰ τοῦ Β περὶ ἀσυμπτώτους τὰς ΘΓ, ΓΗ γραφῇ ὑπερβολή, ἥξει διὰ τοῦ Κ διὰ τὴν ἀντιστροφὴν τοῦ η' θεωρήματος τοῦ δευτέρου βιβλίου τῶν Ἀπολλωνίου Κωνικῶν στοιχείων, καὶ ἔσται θέσει δεδομένη διὰ τὸ καὶ ἑκατέραν τῶν ΘΓ, ΓΗ, ἔτι μὴν καὶ τὸ Β τῇ θέσει δεδόσθαι. γεγράφθω, ὡς εἴρηται, καὶ ἔστω ὡς ἡ ΚΒ· τὸ ἄρα Κ ἅπτεται θέσει δεδομένης ὑπερβολῆς. ἥπτετο δὲ καὶ θέσει δεδομένης παραβολῆς· δέδοται ἄρα τὸ Κ. καί ἐστιν ἀπ' αὐτοῦ*

4 ὑπὸ] A, sub in ras. B². 6 οὕτως] ita in ras. B², αλλ' ως A. 13 *δύνασθαι*] possint supra scr. B, om. A. 21 γρα-

$$\Gamma H^2 : \Gamma H \times HZ = \Delta : EB^2$$
$$= \Delta : KZ^2;$$

et permutando [Eucl. V, 16]

$$\Gamma H^2 : \Delta,$$

h. e. $\Gamma H^2 : \Gamma H \times HM,$
$= \Gamma H \times HZ : ZK^2.$

sed

$\Gamma H^2 : \Gamma H \times HM = \Gamma H : HM;$

itaque

$\Gamma H : HM = \Gamma H \times HZ : ZK^2.$

sed $\Gamma H : HM$
$= \Gamma H \times HZ : MH \times HZ$




communi altitudine sumpta $HZ$; itaque etiam

$$\Gamma H \times HZ : MH \times HZ = \Gamma H \times HZ : ZK^2;$$

quare $MH \times HZ = ZK^2$. si igitur circum axem $ZH$ per $H$ parabolam descripserimus, ita ut parametrus sit $HM$, per $K$ ueniet,[1]) et positione data erit, quia $HM$ magnitudine data est [Eucl. Dat. 57], quippe quae cum data recta $H\Gamma$ datum spatium $\Delta$ comprehendat; itaque punctum $K$ parabolam positione datam tangit. describatur igitur, uti diximus, et sit $HK$. rursus, quoniam est $\Theta\Delta = \Gamma B$ [Eucl. I, 43], h. e.

$$\Theta K \times K\Delta = AB \times BH,$$

si per $B$ in asymptotis $\Theta\Gamma$, $\Gamma H$ hyperbolam descripserimus, per $K$ ibit propter conuersum theorema VIII secundri libri Apollonii Conicorum elementorum,[2]) et positione data erit, quia utraque recta $\Theta\Gamma$, $\Gamma H$ et praeterea punctum $B$ positione data sunt. describatur, uti diximus, et sit $KB$; itaque $K$ hyperbolam positione datam tangit. tangebat autem etiam

1) Apollon. Con. I, 11 conuers.; cfr. ZMP. XXV p. 51.
2) In nostris codd. est Apollon. Con. II, 12. de qua re cfr. NJS. XI p. 362, Apollonii opp. II p. LXVII.

φῆ] scribatur in ras. B², ἡ γραφη A. ὑπερβολή] e corr. B, ὑποπεριβολη A. 22 η′] AB, 12 mg. B². 26 ἡ $KB$] q̄ $k^{//}$ $b^{//}$ B, in mg. ras.; $HK$ A. 28 ἥπτετο — παραβολῆς] A, om. B.

κάθετος ἡ ΚΕ ἐπὶ θέσει δεδομένην τὴν ΑΒ· δέδοται ἄρα τὸ Ε. ἐπεὶ οὖν ἐστιν, ὡς ἡ ΕΑ πρὸς τὴν δοθεῖσαν τὴν ΑΓ, οὕτως δοθὲν τὸ Δ πρὸς τὸ ἀπὸ ΕΒ, δύο στερεῶν, ὧν βάσεις τὸ ἀπὸ ΕΒ καὶ τὸ Δ, ὕψη δὲ αἱ ΕΑ, ΑΓ, ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν· ὥστε ἴσα ἐστὶ τὰ στερεά· τὸ ἄρα ἀπὸ ΕΒ ἐπὶ τὴν ΕΑ ἴσον ἐστὶ τῷ δοθέντι τῷ Δ ἐπὶ δοθεῖσαν τὴν ΓΑ. ἀλλὰ τὸ ἀπὸ ΒΕ ἐπὶ τὴν ΕΑ μέγιστόν ἐστι πάντων τῶν ὁμοίως λαμβανομένων ἐπὶ τῆς ΒΑ, ὅταν ᾖ διπλασία ἡ ΒΕ τῆς ΕΑ, ὡς δειχθήσεται· δεῖ ἄρα τὸ δοθὲν ἐπὶ τὴν δοθεῖσαν μὴ μεῖζον εἶναι τοῦ ἀπὸ τῆς ΒΕ ἐπὶ τὴν ΕΑ.

συντεθήσεται δὲ οὕτως· ἔστω ἡ μὲν δοθεῖσα εὐθεῖα ἡ ΑΒ, ἄλλη δέ τις δοθεῖσα ἡ ΑΓ, τὸ δὲ δοθὲν χωρίον τὸ Δ, καὶ δέον ἔστω τεμεῖν τὴν ΑΒ, ὥστε εἶναι, ὡς τὸ ἓν τμῆμα πρὸς τὴν δοθεῖσαν τὴν ΑΓ, οὕτως τὸ δοθὲν τὸ Δ πρὸς τὸ ἀπὸ τοῦ λοιποῦ τμήματος.

εἰλήφθω τῆς ΑΒ τρίτον μέρος ἡ ΑΕ· τὸ ἄρα Δ ἐπὶ τὴν ΑΓ ἤτοι μεῖζόν ἐστι τοῦ ἀπὸ τῆς ΒΕ ἐπὶ τὴν ΕΑ ἢ ἴσον ἢ ἔλασσον.

εἰ μὲν οὖν μεῖζόν ἐστιν, οὐ συντεθήσεται, ὡς ἐν τῇ ἀναλύσει δέδεικται· εἰ δὲ ἴσον ἐστί, τὸ Ε σημεῖον ποιήσει τὸ πρόβλημα. ἴσων γὰρ ὄντων τῶν στερεῶν ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν, καί ἐστιν, ὡς ἡ ΕΑ πρὸς ΑΓ, οὕτως τὸ Δ πρὸς τὸ ἀπὸ ΒΕ.

εἰ δὲ ἔλασσόν ἐστι τὸ Δ ἐπὶ τὴν ΑΓ τοῦ ἀπὸ ΒΕ ἐπὶ τὴν ΕΑ, συντεθήσεται οὕτως· κείσθω ἡ ΑΓ πρὸς ὀρθὰς τῇ ΑΒ, καὶ διὰ τοῦ Γ τῇ ΑΒ παρ-

parabolam positione datam; itaque punctum $K$ datum est [Eucl. Dat. 25]. et ab eo ad rectam $AB$ positione datam perpendicularis ducta est $KE$; itaque $E$ datum est [Eucl. Dat. 30]. iam quoniam $EA$ ad datam $A\Gamma$ eam rationem habet, quam datum spatium $\Delta$ ad $EB^2$, in duabus figuris solidis, quarum bases sunt $EB^2$ et $\Delta$, altitudines autem $EA$ et $A\Gamma$, bases in contraria proportione altitudinum sunt; quare solidae figurae aequales sunt [Eucl. XI, 34]; itaque

$$EB^2 \times EA = \Delta \times \Gamma A,$$

quorum utrumque datum est. sed $BE^2 \times EA$ maximum est omnium spatiorum in $BA$ similiter sumptorum, si

$$BE = 2\,EA,$$

sicut demonstrabitur; itaque spatium datum in rectam datam multiplicatum non maius esse oportet quam

$$BE^2 \times EA.^{1})$$

componetur autem hoc modo: data recta sit $AB$ et alia recta data $A\Gamma$, datum autem spatium $\Delta$, et propositum sit, ut rectam $AB$ ita secemus, ut altera pars ad datam rectam $A\Gamma$ eam rationem habeat, quam datum spatium $\Delta$ ad quadratum reliquae partis.

sumatur $AE$ tertia pars rectae $AB$; itaque $\Delta \times A\Gamma$ aut maius est quam $BE^2 \times EA$ aut aequale aut minus.

si igitur maius est, non componetur, ut in analysi demonstratum est; sin aequale est, punctum $E$ problema resoluet. nam cum figurae solidae aequales sint, bases in contraria ratione altitudinum sunt, et erit $EA : A\Gamma = \Delta : BE^2$.

sin $\Delta \times A\Gamma < BE^2 \times EA$, ita componetur: ponatur $A\Gamma$ ad $AB$ perpendicularis, et per $\Gamma$ rectae $AB$ parallela duca-

1) Sc. si $BE = 2\,EA$.

**4** *βάσεις*] B, *βασις* comp. A. **6** *βάσεις*] BEH, *βασις* comp. A. **9** *ὁμοίως*] similiter e corr. B, *ομοιων* A.

ἄλληλος ἤχθω ἡ ΓΖ, διὰ δὲ τοῦ Β τῇ ΑΓ παράλληλος ἤχθω ἡ ΒΖ καὶ συμπιπτέτω τῇ ΓΕ ἐκβληθείσῃ κατὰ τὸ Η, καὶ συμπεπληρώσθω τὸ ΖΘ παραλληλόγραμμον, καὶ διὰ τοῦ Ε τῇ ΖΗ παράλληλος ἤχθω ἡ ΚΕΛ. ἐπεὶ οὖν τὸ Δ ἐπὶ τὴν ΑΓ ἔλασσόν ἐστι τοῦ ἀπὸ ΒΕ ἐπὶ τὴν ΕΑ, ἔστιν, ὡς ἡ ΕΑ πρὸς ΑΓ, οὕτως τὸ Δ πρὸς ἔλασσόν τι τοῦ ἀπὸ τῆς ΒΕ, τουτέστι τοῦ ἀπὸ τῆς ΗΚ. ἔστω οὖν, ὡς ἡ ΕΑ πρὸς ΑΓ, οὕτως τὸ Δ πρὸς τὸ ἀπὸ ΗΜ, καὶ τῷ Δ ἴσον ἔστω τὸ ὑπὸ ΓΖΝ. ἐπεὶ οὖν ἐστιν, ὡς ἡ ΕΑ πρὸς ΑΓ, οὕτως τὸ Δ, τουτέστι τὸ ὑπὸ ΓΖΝ, πρὸς τὸ ἀπὸ ΗΜ, ἀλλ' ὡς ἡ ΕΑ πρὸς ΑΓ, οὕτως ἡ ΓΖ πρὸς ΖΗ, ὡς δὲ ἡ ΓΖ πρὸς ΖΗ, οὕτως τὸ ἀπὸ ΓΖ πρὸς τὸ ὑπὸ ΓΖΗ, καὶ ὡς ἄρα τὸ ἀπὸ ΓΖ πρὸς τὸ ὑπὸ ΓΖΗ, οὕτως τὸ ὑπὸ ΓΖΝ πρὸς τὸ ἀπὸ ΗΜ· καὶ ἐναλλάξ, ὡς τὸ ἀπὸ ΓΖ πρὸς τὸ ὑπὸ ΓΖΝ, οὕτως τὸ ὑπὸ ΓΖΗ πρὸς τὸ ἀπὸ ΗΜ. ἀλλ' ὡς τὸ ἀπὸ ΓΖ πρὸς τὸ ὑπὸ ΓΖΝ, ἡ ΓΖ πρὸς ΖΝ, ὡς δὲ ἡ ΓΖ πρὸς ΖΝ, τῆς ΖΗ κοινοῦ ὕψους λαμβανομένης οὕτως τὸ ὑπὸ ΓΖΗ πρὸς τὸ ὑπὸ ΝΖΗ· καὶ ὡς ἄρα τὸ ὑπὸ ΓΖΗ πρὸς τὸ ὑπὸ ΝΖΗ, οὕτως τὸ ὑπὸ ΓΖΗ πρὸς τὸ ἀπὸ ΗΜ· ἴσον ἄρα ἐστὶ τὸ ἀπὸ ΗΜ τῷ ὑπὸ ΗΖΝ. ἐὰν ἄρα διὰ τοῦ Ζ περὶ ἄξονα τὴν ΖΗ γράψωμεν παραβολήν, ὥστε τὰς καταγομένας δύνασθαι παρὰ τὴν ΖΝ, ἥξει διὰ τοῦ Μ. γεγράφθω, καὶ ἔστω ὡς ἡ ΜΞΖ. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ ΘΛ τῷ ΑΖ, τουτέστι τὸ ὑπὸ ΘΚΛ τῷ ὑπὸ ΑΒΖ, ἐὰν διὰ τοῦ Β περὶ ἀσυμπτώτους τὰς ΘΓ, ΓΖ γράψωμεν ὑπερβολήν, ἥξει διὰ τοῦ Κ διὰ τὴν ἀντιστροφὴν τοῦ ἡ' θεωρήματος τῶν Ἀπολλωνίου Κωνικῶν στοι-

tur $\Gamma Z$, per $B$ autem rectae $A\Gamma$ parallela ducatur $BZ$ et cum $\Gamma E$ producta concurrat in $H$, expleatur autem parallelogrammum $Z\Theta$, et per $E$ rectae $ZH$ parallela ducatur $KEA$. iam quoniam

$$\Delta \times A\Gamma < BE^2 \times EA,$$




quam rationem habet $EA : A\Gamma$, eam habebit $\Delta$ ad magnitudinem minorem quam $BE^2$, h. e. quam $HK^2$. sit igitur $EA : A\Gamma = \Delta : HM^2$, et sit $\Delta = \Gamma Z \times ZN$. iam quoniam

$$EA : A\Gamma = \Delta : HM^2 = \Gamma Z \times ZN : HM^2,$$

et $EA : A\Gamma = \Gamma Z : ZH$, et $\Gamma Z : ZH = \Gamma Z^2 : \Gamma Z \times ZH$, erit etiam $\Gamma Z^2 : \Gamma Z \times ZH = \Gamma Z \times ZN : HM^2$; et permutando [Eucl. V, 16] $\Gamma Z^2 : \Gamma Z \times ZN = \Gamma Z \times ZH : HM^2$. sed $\Gamma Z^2 : \Gamma Z \times ZN = \Gamma Z : ZN$,

et $$\Gamma Z : ZN = \Gamma Z \times ZH : NZ \times ZH$$

communi altitudine sumpta $ZH$; itaque

$$\Gamma Z \times ZH : NZ \times ZH = \Gamma Z \times ZH : HM^2;$$

quare $HM^2 = HZ \times ZN$. si igitur per Z circum axem $ZH$ parabolam descripserimus, ita ut parametrus eius sit $ZN$, per $M$ ueniet [Apollon. Con. I, 11]. describatur, et sit $M\Xi Z$. et quoniam $\Theta\Delta = AZ$ [Eucl. I, 43], h. e.

$$\Theta K \times K\Delta = AB \times BZ,$$

si per $B$ in asymptotis $\Theta\Gamma$, $\Gamma Z$ hyperbolam descripserimus, per $K$ ueniet propter conuersum theorema VIII ⟨libri secundi⟩ Apollonii Conicorum elementorum [h. e. Apollon. II, 12 conu.].

2 καὶ — ΓE] *Basil.*, om. AB. 4 ZΘ] e corr. B, ZB A. 26 ZN] e corr. B, ZH A. 27 ὡς] A, om. B. 31 η΄] AB, *12* supra scr. $B^2$; u. p. 135 not. 2. θεωρήματος] sc. τοῦ δευτέρου βιβλίου (p. 134, 22), quod add. *Basil.*; secundi libri mg. $B^2$.

χείων. γεγράφθω, καὶ ἔστω ὡς ἡ *BK* τέμνουσα τὴν παραβολὴν κατὰ τὸ Ξ, καὶ ἀπὸ τοῦ Ξ ἐπὶ τὴν *AB* κάθετος ἤχθω ἡ ΞΟΠ, καὶ διὰ τοῦ Ξ τῇ *AB* παράλληλος ἤχθω ἡ *PΞΣ*. ἐπεὶ οὖν ὑπερβολή ἐστιν ἡ *BΞK*, ἀσύμπτωτοι δὲ αἱ ΘΓ, ΓΖ, καὶ παράλληλοι ἠγμέναι εἰσὶν αἱ *PΞΠ* ταῖς *ABZ*, ἴσον ἐστὶ τὸ ὑπὸ *PΞΠ* τῷ ὑπὸ *ABZ*· ὥστε καὶ τὸ *PO* τῷ *OZ*. ἐὰν ἄρα ἀπὸ τοῦ Γ ἐπὶ τὸ Σ ἐπιζευχθῇ εὐθεῖα, ἥξει διὰ τοῦ *O*. ἐρχέσθω, καὶ ἔστω ὡς ἡ ΓΟΣ. ἐπεὶ οὖν ἐστιν, ὡς ἡ *OA* πρὸς *AΓ*, οὕτως ἡ *OB* πρὸς *BΣ*, τουτέστιν ἡ ΓΖ πρὸς ΖΣ, ὡς δὲ ἡ ΓΖ πρὸς ΖΣ, τῆς *ZN* κοινοῦ ὕψους λαμβανομένης οὕτως τὸ ὑπὸ *ΓZN* πρὸς τὸ ὑπὸ *ΣZN*, καὶ ὡς ἄρα ἡ *OA* πρὸς *AΓ*, οὕτως τὸ ὑπὸ *ΓZN* πρὸς τὸ ὑπὸ *ΣZN*. καί ἐστι τῷ μὲν ὑπὸ *ΓZN* ἴσον τὸ *Δ* χωρίον, τῷ δὲ ὑπὸ *ΣZN* ἴσον τὸ ἀπὸ ΣΞ, τουτέστι τὸ ἀπὸ *BO*, διὰ τὴν παραβολήν· ὡς ἄρα ἡ *OA* πρὸς *AΓ*, οὕτως τὸ *Δ* χωρίον πρὸς τὸ ἀπὸ τῆς *BO*. εἴληπται ἄρα τὸ *O* σημεῖον ποιοῦν τὸ πρόβλημα.

ὅτι δὲ διπλασίας οὔσης τῆς *BE* τῆς *EA* τὸ ἀπὸ τῆς *BE* ἐπὶ τὴν *EA* μέγιστόν ἐστι πάντων τῶν ὁμοίως λαμβανομένων ἐπὶ τῆς *BA*, δειχθήσεται οὕτως. ἔστω γάρ, ὡς ἐν τῇ ἀναλύσει, πάλιν δοθεῖσα εὐθεῖα πρὸς ὀρθὰς τῇ *AB* ἡ *AΓ*, καὶ ἐπιζευχθεῖσα ἡ *ΓE* ἐκβεβλήσθω καὶ συμπιπτέτω τῇ διὰ τοῦ *B* παραλλήλῳ ἠγμένῃ τῇ *AΓ* κατὰ τὸ Ζ, καὶ διὰ τῶν Γ, Ζ παράλληλοι τῇ *AB* ἤχθωσαν αἱ ΘΖ, ΓΗ, καὶ ἐκβεβλήσθω ἡ *ΓA* ἐπὶ τὸ Θ, καὶ ταύτῃ παράλληλος διὰ τοῦ *E* ἤχθω ἡ *KEΛ*, καὶ γεγονέτω, ὡς ἡ *EA* πρὸς *AΓ*, οὕτως τὸ ὑπὸ *ΓHM*

πρὸς τὸ ἀπὸ ΚΕΒ· τὸ ἄρα ἀπὸ ΒΕ ἐπὶ τὴν ΕΑ ἴσον ἐστὶ τῷ ὑπὸ ΓΗΜ ἐπὶ τὴν ΑΓ διὰ τὸ δύο στερεῶν ἀντιπεπονθέναι τὰς βάσεις τοῖς ὕψεσιν. λέγω οὖν, ὅτι τὸ ὑπὸ ΓΗΜ ἐπὶ τὴν ΑΓ μέγιστόν

---

describatur, et sit $BK$ parabolam in $\Xi$ secans, et ab $\Xi$ ad $AB$ perpendicularis ducatur $\Xi O \Pi$, per $\Xi$ autem rectae $AB$ parallela ducatur $P\Xi\Sigma$. iam quoniam hyperbola est $B\Xi K$ et asymptoti $\Theta\Gamma$, $\Gamma Z$, rectis autem $AB$, $BZ$ parallelae sunt $P\Xi$, $\Xi\Pi$, erit $P\Xi \times \Xi\Pi = AB \times BZ$ [Apollon. II, 12]; quare etiam $PO = OZ$. si igitur a $\Gamma$ ad $\Sigma$ ducta erit recta, per $O$ ueniet [Eucl. I, 43 conu.]. ueniat, et sit $\Gamma O\Sigma$. iam quoniam est

$$OA : A\Gamma = OB : B\Sigma \text{ [Eucl. VI, 4]} = \Gamma Z : Z\Sigma,$$

et $\Gamma Z : Z\Sigma = \Gamma Z \times ZN : \Sigma Z \times ZN$ communi altitudine sumpta $ZN$, erit etiam $OA : A\Gamma = \Gamma Z \times ZN : \Sigma Z \times ZN$. et $\Gamma Z \times ZN = \Delta$, $\Sigma Z \times ZN = \Sigma\Xi^2 = BO^2$ propter parabolam [Apollon. Con. I, 11]; itaque $OA : A\Gamma = \Delta : BO^2$. ergo sumptum est punctum $O$ problema resoluens.

uerum $BE^2 \times EA$ maximum esse omnium spatiorum in $BA$ similiter sumptorum, si $BE = 2\,EA$, sic demonstrabitur. rursus enim, ut in analysi, data sit recta $A\Gamma$ ad $AB$ perpendicularis, ducta autem recta $\Gamma E$ producatur et cum recta per $B$ rectae $A\Gamma$ parallela ducta in $Z$ concurrat, per $\Gamma$, $Z$ autem rectae $AB$ parallelae ducantur $\Theta Z$, $\Gamma H$, et producatur $\Gamma A$ ad $\Theta$, eique parallela per $E$ ducatur $KEA$, et fiat $EA : A\Gamma = \Gamma H \times HM : EB^2$; erit igitur

$$BE^2 \times EA = (\Gamma H \times HM) \times A\Gamma,$$

quia in duabus solidis figuris bases in contraria proportione

---

4 $P\Xi\Sigma$] B, $P\Xi Z$ A. 5 $B\Xi K$] B, $BK\Xi$ A. 7 $P\Xi\Pi$] B, $PZ\Pi$ A. $PO$] e corr. B, $P\Theta$ A. 9 ἐρχέσθω] A, sit protracta B. 15 τῷ μὲν] e corr. BG, το μεν A. 23 ἐπὶ τῆς] *Basil.*, super B, επι την A. 34 βάσεις] BEH, βασις comp. A.

ἐστι πάντων τῶν ὁμοίως ἐπὶ τῆς *BA* λαμβανομένων.

γεγράφθω γὰρ διὰ τοῦ *H* περὶ ἄξονα τὴν *ZH* παραβολή, ὥστε τὰς καταγομένας δύνασθαι παρὰ τὴν *HM*· ἤξει δὴ διὰ τοῦ *K*, ὡς ἐν τῇ ἀναλύσει δέδεικται, καὶ συμπεσεῖται ἐκβαλλομένη τῇ *ΘΓ* παραλλήλῳ οὔσῃ τῇ διαμέτρῳ τῆς τομῆς διὰ τὸ ἔβδομον καὶ εἰκοστὸν θεώρημα τοῦ πρώτου βιβλίου τῶν Ἀπολλωνίου Κωνικῶν στοιχείων. ἐκβεβλήσθω καὶ συμπιπτέτω κατὰ τὸ *N*, καὶ διὰ τοῦ *B* περὶ ἀσυμπτώτους τὰς *NΓH* γεγράφθω ὑπερβολή· ἤξει ἄρα διὰ τοῦ *K*, ὡς ἐν τῇ ἀναλύσει εἴρηται. ἐρχέσθω οὖν ὡς ἡ *BK*, καὶ ἐκβληθείσῃ τῇ *ZH* ἴση κείσθω ἡ *HΞ*, καὶ ἐπεξεύχθω ἡ *ΞK* καὶ ἐκβεβλήσθω ἐπὶ τὸ *O*· φανερὸν ἄρα, ὅτι ἐφάπτεται τῆς παραβολῆς διὰ τὴν ἀντιστροφὴν τοῦ τετάρτου καὶ τριακοστοῦ θεωρήματος τοῦ πρώτου βιβλίου τῶν Ἀπολλωνίου Κωνικῶν Στοιχείων. ἐπεὶ οὖν διπλῆ ἐστιν ἡ *BE* τῆς *EA*· οὕτως γὰρ ὑπόκειται· τουτέστιν ἡ *ZK* τῆς *KΘ*, καί ἐστιν ὅμοιον τὸ *OΘK* τρίγωνον τῷ *ΞZK* τριγώνῳ, διπλασία ἐστὶ καὶ ἡ *ΞK* τῆς *KO*. ἔστιν δὲ καὶ ἡ *ΞK* τῆς *KΠ* διπλῆ διὰ τὸ καὶ τὴν *ΞZ* τῆς *ΞH* καὶ παράλληλον εἶναι τὴν *ΠH* τῇ *KZ*· ἴση ἄρα ἡ *OK* τῇ *KΠ*. ἡ ἄρα *OKΠ* ψαύουσα τῆς ὑπερ-

8 ἔβδομον] BGH, *ευδομον* A, *26* supra scr. B². **17** *τετάρτου*] AB, *33* supra scr. B². **23** *ΞK*] e corr. B, *ZK* A. **25** *OK*] A, *ek* e corr. B. ὑπερβολῆς] A, *παραβολῆς Basil.*, parabolam e corr. B². Figuram nostram et eam, quam posui infra p. 147, in unum coniungunt AB, sed perspicuitatis gratia eas diiungere malui. ceterum in nostra figura pro *Ψ* est *Φ* in A; praeterea additur spatium *Δ*, cuius hic nullus est usus.

altitudinum sunt. dico igitur, $(\Gamma H \times HM) \times A\Gamma$ maximum esse omnium spatiorum in $BA$ similiter sumptorum.

describatur enim per $H$ circum axem $ZH$ parabola, cuius parametrus sit $HM$; ueniet igitur per $K$, ut in analysi demonstratum est [p. 134, 11 sq.], et producta cum $\Theta\Gamma$ diametro sectionis parallela concurret propter theorema XXVII primi libri Apollonii Conicorum elementorum.[1]) producatur et concurrat in $N$, et per $B$ in asymptotis $N\Gamma$, $\Gamma H$ describatur hyperbola; ueniet igitur per $K$, ut in analysi dictum est [p. 134, 20 sq.]. ueniat igitur ut $BK$, et rectae $ZH$ productae aequalis ponatur $H\Xi$,[2]) ducatur autem $\Xi K$ et producatur ad $O$; adparet igitur, ⟨rectam $\Xi O$⟩ parabolam contingere propter conuersum theorema XXXIV libri primi[3]) Apollonii Conicorum elementorum. iam quoniam

$$BE = 2EA$$

(ita enim suppositum est), h. e. $ZK = 2K\Theta$, et

$$O\Theta K \sim \Xi ZK,$$

erit etiam $\Xi K = 2KO$.

$$\Omega \quad M$$

sed etiam $\Xi K = 2K\Pi$, quia $\Xi Z = 2\Xi H$, et $\Pi H$ rectae $KZ$ parallela; itaque $OK = K\Pi$. quare $OK\Pi$, quae hyperbolam tangit et inter asymptotos posita est, in duas partes aequales diuiditur; itaque hyperbolam contingit




1) In nostris codicibus est Con. I, 26; cfr. p. 135 not. 2.

2) Debebat esse lin. 13—14: καὶ ἐπιζευχθείσης τῆς $ZH$ ἴση αὐτῇ κείσθω ἡ $H\Xi$.

3) In nostris codd. est I, 33; cfr. not. 1.

βολῆς καὶ μεταξὺ οὖσα τῶν ἀσυμπτώτων δίχα τέμνεται· ἐφάπτεται ἄρα τῆς ὑπερβολῆς διὰ τὴν ἀντιστροφὴν τοῦ τρίτου θεωρήματος τοῦ δευτέρου βιβλίου τῶν Ἀπολλωνίου Κωνικῶν στοιχείων. ἐφήπτετο δὲ καὶ τῆς παραβολῆς κατὰ τὸ αὐτὸ Κ· ἡ ἄρα παραβολὴ τῆς ὑπερβολῆς ἐφάπτεται κατὰ τὸ Κ. νενοήσθω οὖν καὶ ἡ ὑπερβολὴ προσεκβαλλομένη ὡς ἐπὶ τὸ Ρ, καὶ εἰλήφθω ἐπὶ τῆς ΑΒ τυχὸν σημεῖον τὸ Σ, καὶ διὰ τοῦ Σ τῇ ΚΛ παράλληλος ἤχθω ἡ ΤΣΥ καὶ συμβαλλέτω τῇ ὑπερβολῇ κατὰ τὸ Τ, καὶ διὰ τοῦ Τ τῇ ΓΗ παράλληλος ἤχθω ἡ ΦΤΧ. ἐπεὶ οὖν διὰ τὴν ὑπερβολὴν καὶ τὰς ἀσυμπτώτους ἴσον ἐστὶ τὸ ΦΤ τῷ ΓΒ, κοινοῦ ἀφαιρεθέντος τοῦ ΓΣ ἴσον γίνεται τὸ ΦΣ τῷ ΣΗ, καὶ διὰ τοῦτο ἡ ἀπὸ τοῦ Γ ἐπὶ τὸ Χ ἐπιζευγνυμένη εὐθεῖα ἥξει διὰ τοῦ Σ. ἐρχέσθω καὶ ἔστω ὡς ἡ ΓΣΧ. καὶ ἐπεὶ τὸ ἀπὸ ΨΧ ἴσον ἐστὶ τῷ ὑπὸ ΧΗΜ διὰ τὴν παραβολήν, τὸ ἀπὸ ΤΧ ἔλασσόν ἐστι τοῦ ὑπὸ ΧΗΜ. γεγονέτω οὖν τῷ ἀπὸ ΤΧ ἴσον τὸ ὑπὸ ΧΗΩ. ἐπεὶ οὖν ἐστιν, ὡς ἡ ΣΑ πρὸς ΑΓ, οὕτως ἡ ΓΗ πρὸς ΗΧ, ἀλλ' ὡς ἡ ΓΗ πρὸς ΗΧ, τῆς ΗΩ κοινοῦ ὕψους λαμβανομένης οὕτως τὸ ὑπὸ ΓΗΩ πρὸς τὸ ὑπὸ ΧΗΩ καὶ πρὸς τὸ ἴσον αὐτῷ τὸ ἀπὸ ΧΤ, τουτέστι τὸ ἀπὸ ΒΣ, τὸ ἄρα ἀπὸ ΒΣ ἐπὶ τὴν ΣΑ ἴσον ἐστὶ τῷ ὑπὸ ΓΗΩ ἐπὶ τὴν ΓΑ. τὸ δὲ ὑπὸ ΓΗΩ ἐπὶ τὴν ΓΑ ἔλασσόν ἐστι τοῦ ὑπὸ ΓΗΜ ἐπὶ τὴν ΓΑ· τὸ ἄρα ἀπὸ ΒΣ ἐπὶ τὴν ΣΑ ἔλαττόν ἐστι τοῦ ἀπὸ ΒΕ ἐπὶ τὴν ΕΑ. ὁμοίως δὴ δειχθήσεται καὶ ἐπὶ πάντων τῶν σημείων τῶν μεταξὺ λαμβανομένων τῶν Ε, Β. ἀλλὰ δὴ εἰλήφθω μεταξὺ τῶν Ε, Α σημεῖον

propter conuersum theorema III secundi libri Apollonii Conicorum elementorum. sed in eodem puncto $K$ etiam parabolam contingit; itaque parabola hyperbolam in $K$ contingit. fingatur igitur etiam hyperbola producta ad $P$, et in $AB$ punctum quoduis sumatur, uelut $\Sigma$, per $\Sigma$ autem rectae $KA$ parallela ducatur $T\Sigma\Upsilon$ et cum hyperbola in $T$ concurrat, et per $T$ rectae $\Gamma H$ parallela ducatur $\Phi TX$. iam quoniam propter hyperbolam asymptotosque $\Phi\Upsilon = \Gamma B$ [Apollon. Con. II, 12], ablato, quod commune est, spatio $\Gamma\Sigma$, erit

$$\Phi\Sigma = \Sigma H,$$

et ideo recta a $\Gamma$ ad $X$ ducta per $\Sigma$ ueniet [Eucl. I, 43 conu.]. ueniat et sit $\Gamma\Sigma X$. et quoniam $\Psi X^2 = XH \times HM$ propter parabolam [Apollon. Con. I, 11], erit

$$TX^2 < XH \times HM.$$

fiat igitur $XH \times H\Omega = TX^2$. iam quoniam est

$$\Sigma A : A\Gamma = \Gamma H : HX,$$

sed $\Gamma H : HX = \Gamma H \times H\Omega : XH \times H\Omega$ communi altitudine sumpta $H\Omega$,

$$= \Gamma H \times H\Omega : TX^2 = \Gamma H \times H\Omega : B\Sigma^2,$$

erit $B\Sigma^2 \times \Sigma A = (\Gamma H \times H\Omega) \times \Gamma A$. sed

$$(\Gamma H \times H\Omega) \times \Gamma A < (\Gamma H \times HM) \times \Gamma A;$$

itaque $B\Sigma^2 \times \Sigma A < BE^2 \times EA$. similiter igitur etiam in omnibus punctis inter $E$, $B$ sumptis idem demonstrabitur.

at punctum inter $E$, $A$ sumatur, uelut $\varsigma$ [u. fig. p. 147]. dico, sic quoque esse $BE^2 \times EA > B\varsigma^2 \times \varsigma A$.

---

5 *ἐφήπτετο*] *Basil.*, *αφηπτετο* A. 9 *τῇ*] mg. G, *την* A. 11 *τοῦ T*] BEG, *τον τ* A. 15 *ΣH*] e corr. B, *ΣK* AB. 16 *ἐρχέσθω*] A, sit igitur protracta B. 20 *XHΩ*] B, *XNΩ* A. 23 *XHΩ*] B, *XNΩ* A. 25 *τὸ ἄρα — BΣ*] *Torellius* om. AB.

τὸ ϛ. λέγω, ὅτι καὶ οὕτως τὸ ἀπὸ τῆς ΒΕ ἐπὶ τὴν ΕΑ μεῖζόν ἐστι τοῦ ἀπὸ Βϛ ἐπὶ τὴν ϛΑ.

τῶν γὰρ αὐτῶν κατεσκευασμένων ἤχθω διὰ τοῦ ϛ τῇ ΚΛ παράλληλος ἡ ϙϛΡ καὶ συμβαλλέτω τῇ ὑπερβολῇ κατὰ τὸ Ρ· συμβαλεῖ γὰρ αὐτῇ διὰ τὸ παράλληλος εἶναι τῇ ἀσυμπτώτῳ· καὶ διὰ τοῦ Ρ παράλληλος ἀχθεῖσα τῇ ΑΒ ἡ Α′ΡΒ′ συμβαλλέτω τῇ ΗΖ ἐκβαλλομένῃ κατὰ τὸ Β′. καὶ ἐπεὶ πάλιν διὰ τὴν ὑπερβολὴν ἴσον ἐστὶ τὸ Γ′ϙ τῷ ΑΗ, ἡ ἀπὸ τοῦ Γ ἐπὶ τὸ Β′ ἐπιζευγνυμένη εὐθεῖα ἥξει διὰ τοῦ ϛ. ἐρχέσθω καὶ ἔστω ὡς ἡ ΓϛΒ′. καὶ ἐπεὶ πάλιν διὰ τὴν παραβολὴν ἴσον ἐστὶ τὸ ἀπὸ Α′Β′ τῷ ὑπὸ Β′ΗΜ, τὸ ἄρα ἀπὸ ΡΒ′ ἔλασσόν ἐστι τοῦ ὑπὸ Β′ΗΜ. γεγονέτω τὸ ἀπὸ ΡΒ′ ἴσον τῷ ὑπὸ Β′ΗΩ. ἐπεὶ οὖν ἐστιν, ὡς ἡ ϛΑ πρὸς ΑΓ, οὕτως ἡ ΓΗ πρὸς ΗΒ′, ἀλλ' ὡς ἡ ΓΗ πρὸς ΗΒ′, τῆς ΗΩ κοινοῦ ὕψους λαμβανομένης οὕτως τὸ ὑπὸ ΓΗΩ πρὸς τὸ ὑπὸ Β′ΗΩ, τουτέστι πρὸς τὸ ἀπὸ ΡΒ′, τουτέστι πρὸς τὸ ἀπὸ Βϛ, τὸ ἄρα ἀπὸ Βϛ ἐπὶ τὴν ϛΑ ἴσον ἐστὶ τῷ ὑπὸ ΓΗΩ ἐπὶ τὴν ΓΑ. καὶ μεῖζον τὸ ὑπὸ ΓΗΜ τοῦ ὑπὸ ΓΗΩ· μεῖζον ἄρα καὶ τὸ ἀπὸ ΒΕ ἐπὶ τὴν ΕΑ τοῦ ἀπὸ Βϛ ἐπὶ τὴν ϛΑ. ὁμοίως δὴ δειχθήσεται καὶ ἐπὶ πάντων τῶν σημείων τῶν μεταξὺ τῶν Ε, Α λαμβανομένων. ἐδείχθη δὲ καὶ ἐπὶ πάντων τῶν μεταξὺ τῶν Ε, Β· πάντων ἄρα τῶν ἐπὶ τῆς ΑΒ ὁμοίως λαμβανομένων μέγιστόν ἐστιν τὸ ἀπὸ τῆς ΒΕ ἐπὶ τὴν ΕΑ, ὅταν ᾖ διπλασία ἡ ΒΕ τῆς ΕΑ.

2 ΕΑ] B, ΒΑ A. 7 Α′ΡΒ′] *Basil.*, Α′ΡΒ A, *ar8* B. index ante litteram infra cum ea coniunctus ponitur in A; pro Α′Β′Γ′ hab. B: *987*. συμβαλλέτω] EG, συμβαλετω A. 12 Α′Β′] e corr. B, ΑΒ′ A. 13 Β′ΗΜ] B², Β′ΗΩ A. 23 δὴ]

nam iisdem comparatis per ς rectae $KA$ parallela ducatur $\Theta\varsigma P$ et cum hyperbola concurrat in $P$ (concurret enim, quia asymptoto parallela est [Apollon. Con. II, 13]), recta autem $A'PB'$ per $P$ rectae $AB$ parallela ducta cum $HZ$ producta concurrat in $B'$. et quoniam rursus propter hyperbolam est $\Gamma'\Theta = AH$ [Apollon. Con. II, 12], recta a $\Gamma$ ad $B'$ ducta per ς ueniet [Eucl. I, 43 conu.]. ueniat et sit $\Gamma\varsigma B'$. et quoniam rursus propter parabolam [Apollon. Con. I, 11]




$$AB'^2 = B'H \times HM,$$

erit $B'P^2 < B'H \times HM$.

fiat $B'P^2 = B'H \times H\Omega$. iam quoniam est

$$\varsigma A : A\Gamma = \Gamma H : HB',$$

et $\Gamma H : HB' = \Gamma H \times H\Omega : B'H \times H\Omega$

communi altitudine sumpta $H\Omega$,

Ω M

$$= \Gamma H \times H\Omega : B'P^2$$
$$= \Gamma H \times H\Omega : B\varsigma^2,$$

erit $B\varsigma^2 \times \varsigma A = (\Gamma H \times H\Omega) \times \Gamma A$.

et $\Gamma H \times HM > \Gamma H \times H\Omega$;

itaque etiam

$$BE^2 \times EA > B\varsigma^2 \times \varsigma A$$

[cfr. p. 140, 32—33]. similiter igitur etiam in omnibus punctis inter $E$, $A$ sumptis idem demonstrabitur. uerum etiam in omnibus punctis inter $E$, $B$ positis demonstratum est; ergo omnium spatiorum in $AB$ similiter sumptorum maximum est $BE^2 \times EA$, si $BE = 2EA$.

AB, δὲ *Torellius*. 24 $E$, $A$ — 25 τῶν (alt.)] BG (pro $E$, $A$ in G est $AE$); bis $A$, altero loco $A$, $E$ pro $E$, $A$. In fig. pro $\Gamma'$ hab. λ (h. e. 𝔇) A; pro $\Gamma'$, $A'$, $B'$ hab. 7, 9, 8 B.

*Ἐπιστῆσαι δὲ χρὴ καὶ τοῖς ἀκολουθοῦσιν κατὰ τὴν εἰρημένην καταγραφήν. ἐπεὶ γὰρ δέδεικται τὸ ἀπὸ BΣ ἐπὶ τὴν ΣA καὶ τὸ ἀπὸ Bς ἐπὶ τὴν ςA ἔλασσον τοῦ ἀπὸ BE ἐπὶ τὴν EA, δυνατόν ἐστι καὶ τοῦ δοθέντος χωρίου ἐπὶ τὴν δοθεῖσαν ἐλάσσονος ὄντος τοῦ ἀπὸ τῆς BE ἐπὶ τὴν EA κατὰ δύο σημεῖα τὴν AB τεμνομένην ποιεῖν τὸ ἐξ ἀρχῆς πρόβλημα. τοῦτο δὲ γίνεται, εἰ νοήσαιμεν περὶ διάμετρον τὴν XH γραφομένην παραβολήν, ὥστε τὰς καταγομένας δύνασθαι παρὰ τὴν HΩ· ἡ γὰρ τοιαύτη παραβολὴ πάντως ἔρχεται διὰ τοῦ T. καὶ ἐπειδὴ ἀνάγκη αὐτὴν συμπίπτειν τῇ ΓN παραλλήλῳ οὔσῃ τῇ διαμέτρῳ, δῆλον, ὅτι τέμνει τὴν ὑπερβολὴν καὶ κατ' ἄλλο σημεῖον ἀνωτέρω τοῦ K, ὡς ἐνταῦθα κατὰ τὸ P, καὶ ἀπὸ τοῦ P ἐπὶ τὴν AB κάθετος ἀγομένη, ὡς ἐνταῦθα ἡ Pς, τέμνει τὴν AB κατὰ τὸ ς, ὥστε τὸ ς σημεῖον ποιεῖν τὸ πρόβλημα, καὶ ἴσον γίνεσθαι τὸ ἀπὸ BΣ ἐπὶ τὴν ΣA τῷ ἀπὸ Bς ἐπὶ τὴν ςA, ὡς ἐστι διὰ τῶν προειρημένων ἀποδείξεων ἐμφανές. ὥστε δυνατοῦ ὄντος ἐπὶ τῆς BA δύο σημεῖα λαμβάνειν ποιοῦντα τὸ ξητούμενον ἔξεστιν, ὁπότερόν τις βούλοιτο, λαμβάνειν ἢ τὸ μεταξὺ τῶν E, B ἢ τὸ μεταξὺ τῶν E, A. εἰ μὲν γὰρ τὸ μεταξὺ τῶν E, B, ὡς εἴρηται, τῆς διὰ τῶν H, T σημείων γραφομένης παραβολῆς κατὰ δύο σημεῖα τεμνούσης τὴν ὑπερβολὴν τὸ μὲν ἐγγύτερον τοῦ H, τουτέστι τοῦ ἄξονος τῆς παραβολῆς, εὑρήσει τὸ μεταξὺ τῶν E, B, ὡς ἐνταῦθα τὸ T εὑρίσκει τὸ Σ, τὸ δὲ ἀπωτέρω τὸ μεταξὺ τῶν E, A, ὡς ἐνταῦθα τὸ P εὑρίσκει τὸ ς.*

1 ς mg. A. δὲ] B, δη A. 5 ἀπὸ] B, απο του A. 26 ἀπωτέρω] *Torellius*, αποτερω A.

1) Archimedes ipse in supplemento illo, quod intercidit, et uniuersale et speciale problema resoluerat (I p. 192, 5 sq.), sed

Verum[1]) etiam in figura proposita[2]), quae sequuntur, animaduertenda sunt. nam quoniam demonstratum est, esse

$$B\Sigma^2 \times \Sigma A \text{ et } B\varsigma^2 \times \varsigma A < BE^2 \times EA,$$

*Εἰς τὴν σύνθεσιν τοῦ δ'.*

*Ἐν δὲ τῇ συνθέσει προσεκβάλλων τὴν διάμετρον τῆς σφαίρας τὴν ΔΒ καὶ ἀποθέμενος τῇ ἡμισείᾳ αὐτῆς ἴσην τὴν ΖΒ καὶ τεμὼν αὐτὴν εἰς τὸν δοθέντα λόγον κατὰ τὸ Θ καὶ ἐπὶ τῆς ΔΒ λαβὼν τὸ Χ οὕτως, ὥστε εἶναι, ὡς τὴν ΧΖ πρὸς ΘΖ, οὕτως τὸ ἀπὸ ΒΔ πρὸς τὸ ἀπὸ ΔΧ, τὰ αὐτὰ κατασκευάζων τοῖς πρότερόν φησι, ὅτι· γεγονέτω, ὡς συναμφότερος ἡ ΚΔΧ πρὸς ΔΧ, οὕτως ἡ ΡΧ πρὸς ΧΒ, καὶ τίθησιν τὸ Ρ μεταξὺ τῶν Θ, Ζ.*

*ὅτι δὲ τοῦτο οὕτως ἔχει, δεικτέον. ἐπεὶ γάρ ἐστιν, ὡς συναμφότερος ἡ ΚΔΧ πρὸς ΔΧ, ἡ ΡΧ πρὸς ΧΒ, διελόντι, ὡς ἡ ΚΔ πρὸς ΔΧ, ἡ ΡΒ πρὸς ΧΒ· ἐναλλάξ, ὡς ἡ ΚΔ πρὸς ΡΒ, ἡ ΔΧ πρὸς ΒΧ. μείζων δὲ ἡ ΔΧ τῆς ΧΒ· μείζων ἄρα καὶ ἡ ΚΒ τῆς ΒΡ, τουτέστιν ἡ ΖΒ τῆς ΒΡ· ὥστε τὸ Ρ ἐντὸς τοῦ Ζ πεσεῖται. ὅτι δὲ καὶ ἐκτὸς τοῦ Θ, δειχθήσεται ὁμοίως τοῖς ἐν τῇ ἀναλύσει προελθούσης πάσης τῆς συνθέσεως τοῦ θεωρήματος. συνάγεται γάρ, ὅτι ἐστίν, ὡς ἡ ΡΧ πρὸς ΧΔ, ἡ ΒΘ πρὸς ΘΖ· ὥστε καὶ συνθέντι. καὶ διὰ τοῦτο γίνεται ἀκόλουθος τοῖς ἄνω εἰρημένοις καὶ ἐνταῦθα ἡ δεῖξις.*

*Καὶ δι' ἴσου ἐν τῇ τεταραγμένῃ ἀναλογίᾳ]* τεταραγμένην ἀναλογίαν ἐν τοῖς Στοιχείοις ἐμάθομεν τριῶν ὄντων μεγεθῶν καὶ ἄλλων αὐτοῖς ἴσων τὸ πλῆθος, ὅταν ᾖ, ὡς μὲν ἡγούμενον πρὸς ἑπόμενον ἐν τοῖς πρώτοις μεγέθεσιν, οὕτως ἐν τοῖς δευτέροις μεγέθεσιν ἡγούμενον πρὸς ἑπόμενον, ὡς δὲ ἑπόμενον πρὸς ἄλλο τι ἐν τοῖς πρώτοις, οὕτως ἐν τοῖς δευτέροις ἄλλο τι πρὸς ἡγούμενον. κἀνταῦθα οὖν δέδεικται, ὡς μὲν ἡγούμενον ἡ ΡΛ πρὸς ἑπόμενον τὴν ΛΔ, οὕτως ἡγούμενον

## In compositionem prop. IV.

In compositione autem diametro sphaerae $\Delta B$ producta et recta $ZB$ dimidio eius aequali posita sectaque in $\Theta$ secundum rationem datam, in $\Delta B$ autem puncto $X$ ita sumpto, ut sit $XZ : \Theta Z = B\Delta^2 : \Delta X^2$, deinde eadem, quae antea, construens ita dicit [I p. 192, 20—22]: fiat

$$K\Delta + \Delta X : \Delta X = PX : XB,$$

et punctum $P$ inter $\Theta$ et $Z$ ponit.

hoc uero ita se habere, demonstrandum est. nam quoniam est $K\Delta + \Delta X : \Delta X = PX : XB$, dirimendo [Eucl. V, 17] erit $K\Delta : \Delta X = PB : XB$; permutando [Eucl. V, 16]

$$K\Delta : PB = \Delta X : BX.$$

sed $\Delta X > XB$; quare etiam $KB > BP$, h. e. $ZB > BP$; punctum $P$ igitur intra $Z$ cadet. idem autem extra $\Theta$ cadere demonstrabitur tota compositione theorematis congruenter analysi progrediente. colligitur [I p. 194, 12—13] enim, esse $PX : X\Delta = B\Theta : \Theta Z$; quare etiam componendo [Eucl. V, 18] $\langle P\Delta : X\Delta = BZ : \Theta Z\rangle$. itaque hic quoque demonstratio cum iis, quae supra [p. 126, 29 sq.] diximus, congruit.

I p. 194, 10—11: erit ex aequo in perturbata ratione] perturbatam rationem ex Elementis [Eucl. V def. 18] conuimus eam esse, si datis tribus magnitudinibus aliisque is multitudine aequalibus in secundis magnitudinibus sit antecedens ad sequentem terminum, ut in prioribus antecedens ad sequentem, sed ut sequens in prioribus ad aliud, ita in secundis aliud ad antecedentem. iam hic quoque demonstratum est, esse, ut antecedens $P\Delta$ ad sequentem $\Delta\Delta$,

---

**2** *δὲ*] AB², om. B. **3** *τῇ ἡμισείᾳ*] scripsi, *την ημισειαν* AB. **4** *τὴν*] scripsi, *τη* AB. **8—9** signa om. A, hab. B. **13** $K\Delta$] B, $K\Delta$ A. **14** $K\Delta$] $kd\delta$ B, $K\Delta B$ A. **15** $ZB$] AB, $BZ$ D. **16** Z] in ras. B, *B* A. **17** $\Theta$] e corr. B, $\Theta\Delta$ AB. **19** $B\Theta$ *πρὸς* $\Theta Z$] *Torellius* ($\Theta B$ pro $B\Theta$), $Z\Theta$ *προς* $\Theta B$ AB. **20** *γίνεται*] scripsi, *γαρ* comp. A, est B. **22—29** signa adp. AB. **24** *ὄντων*] *Basil.*, *οντων των* A.

ἡ *XZ* πρὸς ἑπόμενον τὴν *ZΘ*, ὡς δὲ ἑπόμενον ἡ *ΔΛ* πρὸς ἄλλο τι τὴν *ΛX*, οὕτως ἄλλο τι ἡ *BZ* πρὸς ἡγούμενον τὴν *XZ*. ἔπεται ἄρα καὶ δι' ἴσου, ὡς δέδεικται ἐν τῷ πέμπτῳ τῶν Στοιχείων, ὡς ἡ *PΛ* πρὸς *ΛX*, οὕτως ἡ *BZ* πρὸς *ZΘ*.

## Εἰς τὸ ε'.

Καὶ ἐπεὶ ὅμοιόν ἐστι τὸ *EZH* τμῆμα τῷ *ΘΚΛ* τμήματι, ὅμοιος ἄρα ἐστὶ καὶ ὁ *EZΩ* κῶνος τῷ *ΨΘΚ* κώνῳ] νενοήσθωσαν γὰρ χωρὶς κείμεναι αἱ καταγραφαὶ καὶ ἐπεζευγμέναι αἱ *EH*, *HZ*, *EO*, *OZ*, *ΘΛ*, *ΛΚ*, *ΘΞ*, *ΞΚ*. ἐπεὶ οὖν ὅμοιά ἐστι τὰ *EZH*, *ΘΚΛ* τμήματα, ἴσαι εἰσὶν καὶ αἱ ὑπὸ *EHZ*, *ΘΛΚ* γωνίαι· ὥστε καὶ αἱ ἡμίσειαι αὐτῶν. καί εἰσιν ὀρθαὶ αἱ πρὸς τοῖς *Φ*, *Υ*· καὶ ἡ λοιπὴ ἄρα τῇ λοιπῇ ἐστιν ἴση. ἰσογώνιον ἄρα τὸ *HΦZ* τρίγωνον τῷ *ΛΥΚ*, καί ἐστιν, ὡς ἡ *HΦ* πρὸς *ΦZ*, ἡ *ΛΥ* πρὸς *ΥΚ*. διὰ τὰ αὐτὰ δὴ ἰσογωνίων ὄντων τῶν *ΦZO*, *ΥΚΞ* τριγώνων ἐστίν, ὡς ἡ *ZΦ* πρὸς *ΦO*, ἡ *KΥ* πρὸς *ΥΞ*· δι' ἴσου ἄρα, ὡς ἡ *HΦ* πρὸς *ΦO*, ἡ *ΛΥ* πρὸς *ΥΞ*. καὶ συνθέντι, ὡς ἡ *HO* πρὸς *OΦ*, ἡ *ΛΞ* πρὸς *ΞΥ*· καὶ τῶν ἡγουμένων τὰ ἡμίση, ὡς ἡ *ΣO* πρὸς *OΦ*, ἡ *PΞ* πρὸς *ΞΥ*· καὶ συνθέντι, ὡς συναμφότερος ἡ *ΣOΦ* πρὸς *ΦO*, τουτέστιν ἡ *ΩΦ* πρὸς *ΦH*, οὕτως συναμφότερος ἡ *PΞΥ* πρὸς *ΞΥ*, τουτέστιν ἡ *ΨΥ* πρὸς *ΥΛ*. ἀλλ' ὡς ἡ *HΦ* πρὸς *ΦZ*,



ita antecedentem $XZ$ ad sequentem $Z\Theta$ [I p. 194, 8—9], sed ut sequens $\Delta\Lambda$ ad aliud $\Lambda X$, ita aliud $BZ$ ad antecedentem $XZ$ [ibid. lin. 9—10]. sequitur igitur etiam, ut demonstratum est in quinto libro Elementorum [Eucl. V, 21], ex aequo esse $P\Lambda : \Lambda X = BZ : Z\Theta$ [ibid. lin. 11—12].

## Ad prop. V.

I p. 196, 22—24: et quoniam segmentum $EZH$ segmento $\Theta K\Lambda$ simile est, etiam conus $EZ\Omega$ cono $\Psi\Theta K$ similis erit] fingantur enim figurae [I p. 197] seorsum positae et ductae rectae $EH, HZ, EO, OZ, \Theta\Lambda, \Lambda K, \Theta\Xi, \Xi K$. quoniam igitur segmenta $EZH$, $\Theta K\Lambda$ similia sunt, etiam anguli $EHZ$, $\Theta\Lambda K$ aequales erunt [Eucl. III def. 11]; quare etiam dimidii eorum. et anguli ad $\Phi$, $\Upsilon$ positi recti sunt; itaque etiam reliquus reliquo aequalis est. ergo

$$H\Phi Z \sim \Lambda\Upsilon K,$$

et est [Eucl. VI, 4] $H\Phi : \Phi Z = \Lambda\Upsilon : \Upsilon K$. cum eadem de causa $\Phi ZO \sim \Upsilon K\Xi$, erit $Z\Phi : \Phi O = K\Upsilon : \Upsilon\Xi$; quare ex aequo [Eucl. V, 22] $H\Phi : \Phi O = \Lambda\Upsilon : \Upsilon\Xi$. et componendo [Eucl. V, 18]

$$HO : O\Phi = \Lambda\Xi : \Xi\Upsilon;$$

et sumptis antecedentium dimidiis $\Sigma O : O\Phi = P\Xi : \Xi\Upsilon$; et componendo [Eucl. V, 18]

$$\Sigma O + O\Phi : \Phi O = P\Xi + \Xi\Upsilon : \Xi\Upsilon,$$

h. e. $\Omega\Phi : \Phi H = \Psi\Upsilon : \Upsilon\Lambda$ [I p. 196, 7—8]. sed

$$H\Phi : \Phi Z = \Lambda\Upsilon : \Upsilon K;$$

---

**2** $\Lambda X$] scripsi, $\Delta X$ AB. $BZ$] post ras. 1 litt. B, $EZ$ A. **8** *ἐστὶ*] A, om. B. **17** *τριγώνων*] BG, *τριγωνον* A. **18** *πρὸς ΦO*] G, ad *mo* B (in quo *m* respondet litterae $\Phi$, *f* litterae $\Psi$), om. A. In fig. $\Upsilon$ om. A, hab. GHB$^2$; pro $\Phi$ hab. *m*, pro $\Psi$ autem *f* B$^2$.

ἡ $AT$ πρὸν $TK$· καὶ δι' ἴσου ἄρα, ὡς ἡ $\Omega\Phi$ πρὸς $\Phi Z$, ἡ $\Psi T$ πρὸς $TK$· καὶ τῶν ἑπομένων τὰ διπλάσια· ὡς ἄρα ἡ $\Omega\Phi$ πρὸς $EZ$, ἡ $\Psi T$ πρὸς $\Theta K$. τῶν ἄρα $\Omega EZ$, $\Psi\Theta K$ κώνων ἀνάλογόν εἰσιν οἱ ἄξονες καὶ αἱ διάμετροι τῶν βάσεων· ὅμοιοι ἄρα εἰσὶν οἱ κῶνοι· ὅπερ ἔδει δεῖξαι.

*Λόγος δὲ τῆς $\Omega\Phi$ πρὸς τὴν $EZ$ δοθείς*] ἐπεὶ γὰρ δέδοται τὰ τμήματα τῶν σφαιρῶν, δεδομέναι εἰσὶ καὶ αἱ διάμετροι τῶν βάσεων καὶ τὰ ὕψη τῶν τμημάτων· ὥστε δέδοται ἡ $EZ$ καὶ ἡ $H\Phi$. καὶ ἡ ἡμίσεια ἄρα τῆς $EZ$ ἡ $E\Phi$ δοθήσεται· ὥστε καὶ τὸ ἀπ' αὐτῆς. καί ἐστιν ἴσον τῷ ὑπὸ $H\Phi O$. ἐὰν δὲ δοθὲν παρὰ δοθεῖσαν παραβληθῇ, πλάτος ποιεῖ δοθεῖσαν· δοθεῖσα ἄρα ἡ $\Phi O$. ἀλλὰ καὶ ἡ $\Phi H$· καὶ ὅλη ἄρα ἡ διάμετρος τῆς σφαίρας δοθεῖσά ἐστι, καὶ διὰ τοῦτο καὶ ἡ ἡμίσεια αὐτῆς δέδοται ἡ $\Sigma O$. ἀλλὰ μὴν καὶ ἡ $O\Phi$· δέδοται ἄρα καὶ ὁ τῆς $\Sigma O$ πρὸς $O\Phi$ λόγος. καὶ συνθέντι ὁ συναμφοτέρου τῆς $\Sigma O\Phi$ πρὸς τὴν $O\Phi$ λόγος δοθείς ἐστιν, τουτέστι τῆς $\Omega\Phi$ πρὸς $\Phi H$. καὶ δέδοται ἡ $\Phi H$· δέδοται ἄρα καὶ ἡ $\Omega\Phi$. ἀλλὰ μὴν καὶ ἡ $EZ$· δέδοται ἄρα καὶ ὁ τῆς $\Omega\Phi$ πρὸς $EZ$ λόγος.

τὰ αὐτὰ δὲ ἂν ῥηθείη καὶ ἐπὶ τοῦ $AB\Gamma$ τμήματος, καὶ συναχθήσεται ὁ τῆς $XT$ πρὸς $AB$ λόγος δοθείς· καὶ διὰ τὸ δοθεῖσαν εἶναι τὴν $AB$ δοθεῖσα ἔσται καὶ ἡ $XT$.

ὅτι δέ, ἂν τὰ τμήματα δεδομένα ᾖ, καὶ τὰ ὕψη αὐτῶν δοθήσονται, πρόδηλον μέν, ἵνα δὲ καὶ τοῦτο ἀκολούθως τῇ στοιχειώσει τῶν Δεδομένων δοκῇ συνάγεσθαι, λεχθήσεται.

ἐπειδὴ δέδοται τὰ τμήματα τῇ θέσει καὶ τῷ μεγέθει, δέδοται καὶ ἡ $EZ$ καὶ ἡ ἐν τῷ τμήματι γωνία· ὥστε

itaque ex aequo [Eucl. V, 22] erit

$$\Omega\Phi : \Phi Z = \Psi\Upsilon : \Upsilon K;$$

et duplicatis sequentibus $\Omega\Phi : EZ = \Psi\Upsilon : \Theta K$. in conis igitur $\Omega EZ$, $\Psi\Theta K$ axes et diametri basium proportionales sunt; itaque coni similes sunt [Eucl. XI def. 24]; quod erat demonstrandum.

I p. 196, 25—26: sed ratio $\Omega\Phi : EZ$ data est] nam quoniam segmenta sphaerarum data sunt, et diametri basium et altitudines segmentorum ipsae quoque datae sunt; quare $EZ$ et $H\Phi$ datae. itaque etiam $E\Phi$ dimidia rectae $EZ$ data erit [Eucl. Dat. 7]; quare etiam eius quadratum [Eucl. Dat. 52]. et $E\Phi^2 = H\Phi \times \Phi O$. datum autem spatium datae rectae adplicatum latitudinem datam efficit [Eucl. Dat. 57]; itaque $\Phi O$ data. uerum etiam $\Phi H$ data est; quare tota diametrus sphaerae data est [Eucl. Dat. 3], et ideo etiam dimidia eius $\Sigma O$ data [Eucl. Dat. 7]. sed etiam $O\Phi$ data est; quare etiam ratio $\Sigma O : O\Phi$ data [Eucl. Dat. 1]. et componendo ratio $\Sigma O + O\Phi : O\Phi$ data erit [Eucl. Dat. 6], h. e. $\Omega\Phi : \Phi H$ [I p. 196, 7—8]. et $\Phi H$ data est; ergo etiam $\Omega\Phi$ [Eucl. Dat. 2]. sed etiam $EZ$ data; quare ratio $\Omega\Phi : EZ$ data est [Eucl. Dat. 1].

eadem autem etiam in segmento $AB\Gamma$ [u. fig. I p. 197] dici possunt, et colligemus, datam esse rationem $XT : AB$; et quia data est $AB$, etiam $XT$ data erit.[1])

si segmenta data sint, etiam altitudines eorum datum iri, per se patet, sed ut hoc quoque elementis Datorum congruenter concludi uideatur, exponetur.

quoniam segmenta positione magnitudineque data sunt, et $EZ$ et angulus segmenti datus est [Eucl. Dat. def. 7];

1) Ordinem hoc loco peruertit Eutocius; prius enim colligitur, $XT$ datam esse, deinde rationem $XT : AB$; cfr. lin. 19—21. sed fortasse pro $AB$ lin. 23 scribendum $\Gamma T$; cfr. lin. 18—19.

4 *αἱ*] addidi, om. A. **12** *τῷ̃*] $B^2$G, *το* AB. **13** *δοθεῖσαν*] AB, datum $B^2$; et fortasse scribendum *δοθέν*. *ἄρα*] A, ergo et B. **15** *ἡ*] G, om. A. **28** *δοκῇ*] G, *δοκει* A.

καὶ ἡ ἡμίσεια αὐτῆς. καὶ ἐὰν νοήσωμεν ἐπιζευγνυμένην τὴν $EH$, δεδομένης τῆς πρὸς τῷ $\Phi$ ὀρθῆς δεδομένη ἔσται καὶ ἡ λοιπὴ καὶ τὸ $EH\Phi$ τρίγωνον τῷ εἴδει· ὥστε καὶ ὁ τῆς $E\Phi$ πρὸς $\Phi H$ λόγος δοθεὶς ἔσται. καὶ δέδοται ἡ $E\Phi$ ἡμίσεια οὖσα τῆς $EZ$· δέδοται ἄρα καὶ ἡ $\Phi H$.

ἔνεστι δὲ καὶ ἄλλως λέγειν. ἐπειδὴ δέδοται ἡ $EZ$ τῇ θέσει, καὶ ἀπὸ δεδομένου τοῦ $\Phi$· διχοτομία γάρ ἐστι τῆς $EZ$· πρὸς ὀρθὰς ἦκται ἡ $\Phi H$ τῇ θέσει, δέδοται δὲ καὶ ἡ περιφέρεια τοῦ τμήματος τῇ θέσει, δέδοται ἄρα τὸ $H$. ἦν δὲ καὶ τὸ $\Phi$ δεδομένον· δέδοται ἄρα καὶ ἡ $\Phi H$.

Ἐπεί ἐστιν, ὡς ἡ $\Psi T$ πρὸς $XT$, τουτέστι τὸ ἀπὸ τῆς $BA$ πρὸς τὸ ἀπὸ $\Theta K$, οὕτως ἡ $K\Theta$ πρὸς $\Delta$] ἐπεὶ γὰρ γέγονεν, ὡς ἡ $\Psi T$ πρὸς $\Theta K$, ἡ $XT$ πρὸς $\Delta$, ἐναλλάξ, ὡς ἡ $\Psi T$ πρὸς $XT$, ἡ $K\Theta$ πρὸς $\Delta$. ἀλλ' ὡς ἡ $\Psi T$ πρὸς $XT$, τὸ ἀπὸ $AB$ πρὸς τὸ ἀπὸ $\Theta K$· ἴσων γὰρ ὄντων τῶν κώνων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν, ὡς δὲ αἱ βάσεις πρὸς ἀλλήλας, οὕτως τὰ ἀπὸ τῶν διαμέτρων τετράγωνα· καὶ ὡς ἄρα τὸ ἀπὸ $BA$ πρὸς τὸ ἀπὸ $\Theta K$, ἡ $\Theta K$ πρὸς τὴν $\Delta$.

Καὶ ἐναλλάξ, ὡς ἡ $AB$ πρὸς $\Theta K$, ἡ $\varsigma$ πρὸς $\Delta$] ἐπειδὴ τῷ λόγῳ τοῦ ἀπὸ τῆς $BA$ πρὸς τὸ ἀπὸ $\Theta K$ ὁ αὐτὸς ἐδείχθη ὁ τῆς $BA$ πρὸς $\varsigma$ καὶ ὁ τῆς $K\Theta$ πρὸς $\Delta$, καὶ ὁ τῆς $BA$ ἄρα πρὸς $\varsigma$ ὁ αὐτός ἐστι τῷ τῆς $K\Theta$ πρὸς $\Delta$· ὥστε ἐναλλάξ ἐστιν, ὡς ἡ $BA$ πρὸς $\Theta K$, ἡ $\varsigma$ πρὸς $\Delta$.

## Εἰς τὴν σύνθεσιν τοῦ ε'.

Ἐπειδὴ ἀνάλογόν εἰσιν αἱ $AB$, $\Theta K$, $\varsigma$, $\Delta$, ἔστιν, ὡς τὸ ἀπὸ $AB$ πρὸς τὸ ἀπὸ $\Theta K$, ἡ $\Theta K$ πρὸς $\Delta$]

9 Ante *δέδοται* ins. data est ergo et que *mh* mg. $B^2$. **16** *ἴσων*] BGH, *ισον* A. **17** *αἱ βάσεις*] B, om. A. **21** signa om. B, hab. A. **27** *AB*] B, *AΘ* A. **27—28** signa om. A, hab. B.

quare etiam dimidius. et si rectam $EH$ finxerimus ductam, cum angulus ad $\Phi$ positus rectus datus sit, etiam reliquus datus erit et triangulus $EH\Phi$ specie [Eucl. Dat. 40]; quare etiam ratio $E\Phi : \Phi H$ data erit [cfr. Eucl. Dat. 42]. et $E\Phi$ dimidia rectae $EZ$ data est; ergo [Eucl. Dat. 2] etiam $\Phi H$ data.

uerum etiam aliter ratiocinari possumus. quoniam positione data est $EZ$, et ab $\Phi$ puncto dato (nam medium est rectae $EZ$) ad rectam positione datam perpendicularis ducta est $\Phi H$, et ambitus segmenti positione datus est, datum erit punctum $H$ [Eucl. Dat. 29, 25]. sed etiam $\Phi$ datum erat; ergo etiam $\Phi H$ data [Eucl. Dat. 26].

I p. 198, 2—3: et quoniam est $\Psi T : XT$, hoc est $BA^2 : \Theta K^2 = K\Theta : \Delta$] nam quoniam est

$$\Psi T : \Theta K = XT : \Delta \text{ [I p. 196, 27]},$$

permutando [Eucl. V, 16] erit $\Psi T : XT = K\Theta : \Delta$.

sed $$\Psi T : XT = AB^2 : \Theta K^2;$$

nam cum aequales sint coni, bases in contraria proportione altitudinum sunt, et quam rationem inter se habent bases, eam habent diametrorum quadrata [Eucl. XII, 2; cfr. I p. 196, 13 sqq.]; quare $BA^2 : \Theta K^2 = \Theta K : \Delta$.

I p. 198, 7—8: permutando $AB : \Theta K = \varsigma : \Delta$] quoniam demonstratum est, esse

$$BA : \varsigma = BA^2 : \Theta K^2 \text{ [I p. 198, 4—5]}$$

et $K\Theta : \Delta = BA^2 : \Theta K^2$ [ib. lin. 6—7], erit etiam

$$BA : \varsigma = K\Theta : \Delta;$$

quare permutando [Eucl. V, 16] erit

$$BA : \Theta K = \varsigma : \Delta.$$

## Ad compositionem prop. V.

I p. 200, 16—17: quoniam proportionales sunt rectae $AB$, $\Theta K$, $\varsigma$, $\Delta$, erit $AB^2 : \Theta K^2 = \Theta K : \Delta$] nam om-

καθόλου γάρ, ἐὰν ὦσιν τέσσαρες εὐθεῖαι ἀνάλογον, ἔσται, ὡς τὸ ἀπὸ τῆς πρώτης πρὸς τὸ ἀπὸ τῆς δευτέρας, ἡ δευτέρα πρὸς τὴν τετάρτην. ἐπεὶ γάρ ἐστιν, ὡς ἡ πρώτη πρὸς τὴν δευτέραν, ἡ τρίτη πρὸς τὴν τετάρτην, ἐναλλάξ, ὡς ἡ πρώτη πρὸς τὴν τρίτην, ἡ δευτέρα πρὸς τὴν τετάρτην. ἀλλ' ὡς ἡ πρώτη πρὸς τὴν τρίτην, οὕτως τὸ ἀπὸ τῆς πρώτης πρὸς τὸ ἀπὸ τῆς δευτέρας· καὶ ὡς ἄρα τὸ ἀπὸ τῆς πρώτης πρὸς τὸ ἀπὸ τῆς δευτέρας, ἡ δευτέρα πρὸς τὴν τετάρτην.

## Εἰς τὸ ς'.

Ἐπεὶ δὲ ὅμοιόν ἐστι τὸ $KΛM$ τῷ $ABΓ$ τμήματι, ἔστιν ἄρα, ὡς ἡ $PΛ$ πρὸς $PN$, ἡ $BΠ$ πρὸς $ΠΘ$] ἐὰν γὰρ ἐπιζευχθῶσιν αἱ $MN$, $ΓΘ$, ἐπεὶ ὅμοιά εἰσιν τὰ τμήματα, ἴσαι εἰσὶ καὶ αἱ πρὸς τοῖς $B$, $Λ$ γωνίαι. εἰσὶν δὲ καὶ αἱ πρὸς τοῖς $M$, $Γ$ ὀρθαί· καὶ ἡ λοιπὴ ἄρα τῇ λοιπῇ, καὶ ἰσογώνια τὰ τρίγωνα, καί ἐστιν, ὡς ἡ $ΘB$ πρὸς $ΘΓ$, οὕτως ἡ $ΛN$ πρὸς $NM$. ἀλλ' ὡς ἡ $ΘΓ$ πρὸς $ΘΠ$, οὕτως ἡ $MN$ πρὸς $NP$ διὰ τὴν ὁμοιότητα τῶν $ΓΘΠ$, $MNP$ τριγώνων· καὶ δι' ἴσου ἄρα, ὡς ἡ $BΘ$ πρὸς $ΘΠ$, ἡ $ΛN$ πρὸς $NP$· ὥστε καὶ διελόντι, ὡς ἡ $BΠ$ πρὸς $ΠΘ$, οὕτως ἡ $ΛP$ πρὸς $PN$.

Λόγος δὲ τῆς $EZ$ πρὸς $BΓ$ δοθείς· δοθεῖσα. γὰρ ἑκατέρα] ἐπεὶ γὰρ δέδοται τὰ τμήματα τῶν σφαιρῶν, δεδομέναι εἰσὶ καὶ αἱ διάμετροι τῶν βάσεων καὶ τὰ ὕψη τῶν τμημάτων· ὥστε, ἐπεὶ δέδοται ἡ $AΓ$, δέδοται καὶ ἡ ἡμίσεια αὐτῆς ἡ $ΓΠ$. δέδοται δὲ καὶ ἡ $BΠ$, καὶ ὀρθὴν γωνίαν περιέχουσιν· δέδοται ἄρα καὶ ἡ $BΓ$. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ $EZ$ δοθεῖσά ἐστιν· ὥστε καὶ ὁ τῆς $BΓ$ πρὸς $EZ$ λόγος δοθείς ἐστιν.

nino, si quattuor rectae proportionales sunt, erit, ut quadratum primae ad quadratum secundae, ita secunda ad quartam. nam quoniam est, ut prima ad secundam, ita tertia ad quartam, erit permutando [Eucl. V, 16], ut prima ad tertiam, ita secunda ad quartam. sed ut prima ad tertiam, ita quadratum primae ad quadratum secundae [Eucl. V def. 10]; quare etiam, ut quadratum primae ad quadratum secundae, ita secunda ad quartam.

## Ad prop. VI.

I p. 202, 28—204, 2: porro, quoniam segmentum $K\Lambda M$ segmento $AB\Gamma$ simile est, erit

$$P\Lambda : PN = B\Pi : \Pi\Theta]$$

nam si rectas $MN$, $\Gamma\Theta$ ducimus, quoniam similia sunt segmenta, etiam anguli ad $B$, $\Lambda$ positi aequales sunt [Eucl. III def. 11]. sed praeterea anguli ad $M$, $\Gamma$ positi recti sunt; quare etiam reliquus reliquo ⟨aequalis est⟩, triangulique aequianguli, et [Eucl. VI, 4] $\Theta B : \Theta\Gamma = \Lambda N : NM$. sed

$$\Theta\Gamma : \Theta\Pi = MN : NP$$

propter similitudinem triangulorum $\Gamma\Theta\Pi$, $MNP$ [Eucl. VI, 4]; quare ex aequo [Eucl. V, 22] $B\Theta : \Theta\Pi = \Lambda N : NP$; ergo etiam dirimendo [Eucl. V, 17] $B\Pi : \Pi\Theta = \Lambda P : PN$.

I p. 204, 6—7: ratio autem $EZ : B\Gamma$ data est; utraque enim recta data est] nam quoniam segmenta sphaerarum data sunt, etiam diametri basium altitudinesque segmentorum datae sunt [u. supra p. 182, 26 sqq.]; quare, quoniam data est $\Lambda\Gamma$, etiam dimidia eius $\Gamma\Pi$ data. sed etiam $B\Pi$ data est, et rectum angulum comprehendunt; quare etiam $B\Gamma$ data est [Eucl. I, 47]. iam eadem de causa etiam $EZ$ data est; quare etiam ratio $B\Gamma : EZ$ data [Eucl. Dat. 1].

---

**4** Ante *ἐναλλάξ* ins. et $B^2$. **11—13** signa om. A, hab. B. **14** *Λ*] B, *ΛΓ* A. **17** *ΘΓ* — **18** *ΘΓ πρὸς*] mg. $B^2$, om. AB. **18** *MN*] *Basil., nm* in ras. $B^2$, *ΛH* A. *NP*] e corr. B, *HP* AB. **20** *ΛN*] B, *HΛN* A. *NP*] BGH, *HP* A. **23** *γὰρ* (pr.)] $B^2$, *αρα* per comp. A.

*Εἰς τὴν σύνθεσιν τοῦ ϛ′.*

*Ὅμοια ἄρα ἐστὶ τὰ ἐπὶ τῶν ΚΜ, ΑΓ τμήματα κύκλων*] *ἐὰν γάρ, ὡς ἐν τῇ ἀναλύσει, ἐπιζευχθῶσιν αἱ ΓΘ, ΜΝ, ἐπεὶ ὀρθαί εἰσιν αἱ πρὸς τοῖς Γ, Μ, καὶ κάθετοι αἱ ΓΠ, ΜΡ, μέσαι ἀνάλογόν εἰσιν τῶν τῆς βάσεως τμημάτων· ὥστε ἐστίν, ὡς ἡ πρώτη ἡ ΒΠ πρὸς τὴν τρίτην τὴν ΠΘ, οὕτως τὸ ἀπὸ τῆς πρώτης τῆς ΠΒ πρὸς τὸ ἀπὸ τῆς δευτέρας τῆς ΠΓ. διὰ τὰ αὐτὰ δὴ καί, ὡς ἡ ΑΡ πρὸς ΡΝ, οὕτως τὸ ἀπὸ ΑΡ πρὸς τὸ ἀπὸ ΡΜ. καί ἐστιν, ὡς ἡ ΒΠ πρὸς ΠΘ, ἡ ΡΑ πρὸς ΡΝ· καὶ ὡς ἄρα τὸ ἀπὸ ΒΠ πρὸς τὸ ἀπὸ ΠΓ, οὕτως τὸ ἀπὸ ΑΡ πρὸς τὸ ἀπὸ ΡΜ· καὶ ὡς ἄρα ἡ ΠΒ πρὸς ΠΓ, ἡ ΑΡ πρὸς ΡΜ. καὶ περὶ ἴσας γωνίας αἱ πλευραὶ ἀνάλογόν εἰσιν· ἰσογώνια ἄρα τὰ τρίγωνα. ἴσαι ἄρα αἱ πρὸς τοῖς Β, Λ γωνίαι καὶ αἱ διπλασίους αὐτῶν αἱ ἐν τοῖς τμήμασιν· ὅμοια ἄρα εἰσὶν τὰ τμήματα.*

*Εἰς τὸ ζ′.*

*Λόγος ἄρα δεδομένος συναμφοτέρου τῆς ΕΔΖ πρὸς ΔΖ· ὥστε καὶ ἡ ΑΓ*] *ἐπεὶ γὰρ συναμφότερος ἡ ΕΔ, ΔΖ πρὸς ΔΖ λόγον ἔχει δεδομένον, ἐὰν δεδομένον μέγεθος πρός τι μόριον ἑαυτοῦ λόγον ἔχει δεδομένον, καὶ πρὸς τὸ λοιπὸν λόγον ἕξει δεδομένον· ὥστε συναμφότερος ἡ ΕΔΖ πρὸς ΕΔ λόγον ἔχει δεδομένον. ἐπεὶ οὖν ἑκατέρα τῶν ΕΔ, ΔΖ πρὸς συναμφότερον τὴν ΕΔΖ λόγον ἔχει δεδομένον, καὶ πρὸς ἀλλήλας λόγον ἔχουσι δεδομένον· δέδοται ἄρα ὁ τῆς ΕΔ πρὸς ΔΖ λόγος. καὶ δέδοται ἡ ΕΔ· δέδοται γὰρ ἡ διάμετρος· δέδοται ἄρα καὶ ἡ ΔΖ. λοιπὴ ἄρα ἡ ΖΒ δοθήσεται· ὥστε καὶ τὸ ὑπὸ ΔΖΒ, τουτέστι τὸ ἀπὸ ΑΖ, τουτέστιν ἡ ΑΖ δοθεῖσα ἔσται· καὶ ὅλη ἄρα ἡ ΑΓ.*

## Ad compositionem prop. VI.

I p. 204, 21—23: similia igitur sunt segmenta circulorum in rectis $KM$, $\Lambda\Gamma$ posita] nam si, ut in analysi [supra p. 186, 13] ducuntur $\Gamma\Theta$, $MN$, quoniam anguli ad $\Gamma$, $M$ positi recti sunt, et $\Gamma\Pi$, $MP$ perpendiculares, mediae proportionales sunt inter partes basis [Eucl. VI, 8 coroll.]; quare $B\Pi : \Pi\Theta = \Pi B^2 : \Pi\Gamma^2$ [Eucl. V def. 10]. eadem igitur de causa etiam $\Lambda P : PN = \Lambda P^2 : PM^2$. et $B\Pi : \Pi\Theta = P\Lambda : PN$ [supra p. 186, 21]; quare

$$B\Pi^2 : \Pi\Gamma^2 = \Lambda P^2 : PM^2 \text{ [Eucl. V, 11]};$$

itaque etiam $\Pi B : \Pi\Gamma = \Lambda P : PM$. et latera angulos aequales comprehendentia proportionalia sunt; trianguli igitur aequianguli sunt [Eucl. VI, 6]. itaque anguli ad $B$, $\Lambda$ positi aequales sunt, et duplices quoque eorum, ii, qui in segmentis sunt; ergo segmenta similia sunt [Eucl. III def. 11].

## Ad prop. VII.

I p. 208, 4—6: quare etiam ratio $E\Lambda + \Lambda Z : \Lambda Z$ data est; itaque etiam recta $\Lambda\Gamma$ data] nam quoniam $E\Lambda + \Lambda Z : \Lambda Z$ ratio data est, si data magnitudo ad partem aliquam sui datam rationem habet, etiam ad reliquam datam rationem habebit [Eucl. Dat. 5]; quare ratio $E\Lambda + \Lambda Z : E\Lambda$ data est. quoniam igitur et $E\Lambda$ et $\Lambda Z$ ad $E\Lambda + \Lambda Z$ datam rationem habet, etiam inter se datam rationem habent [Eucl. Dat. 8]; itaque ratio $E\Lambda : \Lambda Z$ data. et $E\Lambda$ data est; nam diametrus data [Eucl. Dat. def. 5]; itaque etiam $\Lambda Z$ data est [Eucl. Dat. 2]. itaque, quae relinquitur $ZB$, data erit [Eucl. Dat. 4]; quare etiam $\Lambda Z \times ZB$, hoc est $\Lambda Z^2$ [Eucl. VI, 8 coroll.], hoc est $\Lambda Z$, data erit; quare etiam tota $\Lambda\Gamma$.

---

**5** *αἱ*] B, *η* A. **8** $\Pi\Gamma$] e corr. B, $B\Gamma$ AB. **10** $P\Lambda$] A, *lr* B. $PN$] A, *ra* in ras. B. **18—19** signa om. A, hab. BG. **19** *ὥστε καὶ ἡ* $A\Gamma$] addidi, om. AB. *συναμφότερος*] G, e corr. B, *συναμφοτερου* AB.

καὶ ἄλλως δὲ λέγοις ἄν, ὅτι ἡ ΑΓ δοθεῖσά ἐστιν. ἐπεὶ γὰρ δέδοται ἡ διάμετρος ἡ ΔΒ τῇ θέσει, δέδοται δὲ καὶ τὸ Ζ, ὡς ἥπται, καὶ ἀπὸ δεδομένου τοῦ Ζ πρὸς ὀρθὰς ἦκται ἡ ΑΓ, δέδοται ἡ ΑΓ τῇ θέσει. ἀλλὰ καὶ ἡ τοῦ κύκλου περιφέρεια· δοθέντα ἄρα τὰ Α, Γ, καὶ αὐτὴ ἡ ΑΖΓ δοθεῖσά ἐστιν.

Καὶ ἐπεὶ συναμφότερος μὲν ἡ ΕΔΖ πρὸς ΔΖ μείζονα λόγον ἔχει ἤπερ συναμφότερος ἡ ΕΔΒ πρὸς ΔΒ] ἐπεὶ γὰρ ἡ ΕΔ μείζων ἢ ἡμίσειά ἐστι τῆς ΔΖ, συναμφότερος ἄρα ἡ ΕΔΖ τῆς ΔΖ μείζων ἐστὶν ἢ ἡμιολία. συναμφότερος δὲ ἡ ΕΔ, ΔΒ τῆς ΔΒ ἡμιολία· μείζονα ἄρα λόγον ἔχει ἡ ΕΔΖ πρὸς ΔΖ ἤπερ ἡ ΕΔΒ πρὸς ΔΒ.

ἢ καὶ ἄλλως. ἐπεὶ μείζων ἐστὶν ἡ ΔΒ τῆς ΔΖ, ἄλλη δέ τις ἡ ΕΔ, ἡ ΕΔ ἄρα πρὸς ΔΖ μείζονα λόγον ἔχει ἤπερ ἡ ΕΔ πρὸς ΔΒ· συνθέντι συναμφότερος ἡ ΕΔΖ πρὸς ΔΖ μείζονα λόγον ἔχει ἤπερ συναμφότερος ἡ ΕΔΒ πρὸς ΔΒ.

ἡ σύνθεσις τοῦ θεωρήματος σαφὴς διὰ τῶν ἐνταῦθα εἰρημένων.

## Εἰς τὸ η'.

Ἡ ΘΖ πρὸς ΖΗ ἐλάσσονα λόγον ἔχει ἢ διπλασίονα τοῦ, ὃν ἔχει τὸ ἀπὸ ΒΑ πρὸς τὸ ἀπὸ ΑΔ, τουτέστιν ἡ ΒΖ πρὸς ΖΔ] ἐπεὶ γὰρ ἐν ὀρθογωνίῳ τριγώνῳ ἀπὸ τῆς ὀρθῆς κάθετος ἦκται ἡ ΑΖ, τῶν πρὸς τῇ καθέτῳ τριγώνων ὁμοίων ὄντων ἐστίν, ὡς ἡ ΖΒ πρὸς ΒΑ, ἡ ΑΒ πρὸς ΒΔ. καὶ ὡς ἡ πρώτη πρὸς τὴν τρίτην, οὕτως τὸ ἀπὸ τῆς πρώτης πρὸς τὸ ἀπὸ τῆς δευτέρας καὶ τὸ ἀπὸ τῆς δευτέρας πρὸς τὸ ἀπὸ τῆς τρίτης, ὡς ἀνωτέρω δέδεικται· ὡς ἄρα ἡ ΖΒ πρὸς ΒΔ, τὸ ἀπὸ

uerum etiam aliter colligas, rectam $A\Gamma$ datam esse. nam quoniam diametrus $\Delta B$ positione data est, et Z ipsum quoque datum est, ut supposuimus, a dato autem puncto Z perpendicularis ducta est $A\Gamma$, positione data est $A\Gamma$ [Eucl. Dat. 30]. sed etiam ambitus circuli ⟨positione datus est⟩; quare $A$, $\Gamma$ data [Eucl. Dat. 25], et ipsa $AZ\Gamma$ data est [Eucl. Dat. 26].

I p. 208, 6—8: et quoniam

$$E\Delta + \Delta Z : \Delta Z > E\Delta + \Delta B : \Delta B]$$

nam quoniam $E\Delta > \frac{1}{2}\Delta Z$, erit $E\Delta + \Delta Z > \frac{3}{2}\Delta Z$. sed $E\Delta + \Delta B = \frac{3}{2}\Delta B$; quare

$$E\Delta + \Delta Z : \Delta Z > E\Delta + \Delta B : \Delta B.$$

uel etiam aliter.

quoniam $\Delta B > \Delta Z$, et alia recta est $E\Delta$, erit

$$E\Delta : \Delta Z > E\Delta : \Delta B \text{ [Eucl. V, 8]};$$

et componendo

$$E\Delta + \Delta Z : \Delta Z > E\Delta + \Delta B : \Delta B$$

[Pappus VII, 45 p. 684; cfr. supra p. 16, 12 sq.].

compositio theorematis manifesta est ex iis, quae iam diximus.

## Ad prop. VIII.

I p. 212, 10—12: $\Theta Z : ZH$ minorem quam duplicem rationem habet quam $B\Delta^2 : A\Delta^2$, hoc est $BZ : Z\Delta$] nam quoniam in triangulo rectangulo ab angulo recto perpendicularis ducta est $AZ$, erit, cum trianguli ad perpendicularem positi similes sint[1]) [Eucl. VI, 8],

$$ZB : B\Delta = AB : B\Delta.$$

et ut prima ad tertiam, ita quadratum primae ad quadratum secundae [Eucl. V def. 10] et quadratum secundae ad quadratum tertiae, ut supra [p. 116, 29 sqq.] demonstratum est;

1) Sc. et inter se et toti triangulo (hoc solo utitur).

14 $\Delta Z$] e corr. B, $AB$ AB. 28 οὕτως] A, om. B.

*AB* πρὸς τὸ ἀπὸ *BΔ*. ἀλλ' ὡς ἡ *BΔ* πρὸς *ΔZ*, οὕτως τὸ ἀπὸ *BΔ* πρὸς τὸ ἀπὸ *ΔA*· ὡς γὰρ ἡ πρώτη πρὸς τὴν τρίτην, οὕτως τὸ ἀπὸ τῆς πρώτης πρὸς τὸ ἀπὸ τῆς δευτέρας· καὶ δι' ἴσου ἄρα, ὡς τὸ ἀπὸ *BA* πρὸς τὸ ἀπὸ *ΔA*, οὕτως ἡ *BZ* πρὸς *ZΔ*.

συναχθείη δ' ἂν τὸ αὐτὸ καὶ ἄλλως οὕτως· ἐπεὶ γάρ ἐστιν, ὡς ἡ *BZ* πρὸς *ZΔ*, οὕτως τὸ ὑπὸ *ZBΔ* πρὸς τὸ ὑπὸ *BΔZ* τῆς *BΔ* κοινοῦ ὕψους λαμβανομένης, καί ἐστι τῷ μὲν ὑπὸ *ΔBZ* ἴσον τὸ ἀπὸ *BA*, τῷ δὲ ὑπὸ *BΔZ* ἴσον τὸ ἀπὸ *ΔA*, ὡς ἄρα τὸ ἀπὸ *BA* πρὸς τὸ ἀπὸ *ΔA*, οὕτως ἡ *BZ* πρὸς *ZΔ*.




Καὶ ἐπεὶ ἡ *ΘZ* πρὸς *ZK* ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ *ΘB* πρὸς *BK*] καθόλου γάρ, ἐὰν ὦσιν δύο μεγέθη ἄνισα, καὶ προστεθῇ αὐτοῖς ἴσα, τὸ μεῖζον πρὸς τὸ ἔλασσον μείζονα λόγον ἔχει ἤπερ τὸ συντεθὲν πρὸς τὸ συντεθέν.

ἔστωσαν γὰρ δύο εὐθεῖαι ἄνισοι αἱ *AB*, *ΓΔ*, καὶ προσκείσθωσαν αὐταῖς ἴσαι αἱ *BE*, *ΔZ*. λέγω, ὅτι ἡ *AB* πρὸς *ΓΔ* μείζονα λόγον ἔχει ἤπερ ἡ *AE* πρὸς *ΓZ*.

ἐπεὶ γὰρ μείζων ἐστὶν ἡ *AB* τῆς *ΓΔ*, ἡ *AB* ἄρα πρὸς *BE* μείζονα λόγον ἔχει ἤπερ ἡ *ΓΔ* πρὸς τὴν *BE*, τουτέστι πρὸς *ΔZ*· ὥστε καὶ συνθέντι ἡ *AE* πρὸς *EB* μείζονα λόγον ἔχει ἤπερ ἡ *ΓZ* πρὸς *ΔZ* διὰ τὰ προδεδειγμένα.

Ἔλασσον ἄρα τὸ ὑπὸ τῶν *ΘZH* τοῦ ἀπὸ *ZK*] ἐὰν γὰρ ὦσι τρεῖς εὐθεῖαι συνεχεῖς ὡς αἱ *A*, *B*, *Γ*, ὥστε τὴν *A* πρὸς τὴν *B* ἐλάσσονα λόγον ἔχειν ἤπερ τὴν *B* πρὸς τὴν *Γ*, τὸ ὑπὸ τῶν ἄκρων τῶν *A*, *Γ* ἔλασσόν ἐστι τοῦ ἀπὸ τῆς μέσης τῆς *B*. ἐὰν γὰρ ποιήσωμεν, ὡς τὴν *A* πρὸς τὴν

itaque $ZB : B\Delta = AB^2 : B\Delta^2$. sed $B\Delta : \Delta Z = B\Delta^2 : \Delta A^2$; nam ut prima ad tertiam, ita quadratum primae ad quadratum secundae [Eucl. V def. 10]; quare etiam ex aequo [Eucl. V, 22]

$$BA^2 : \Delta A^2 = BZ : Z\Delta.$$

uerum idem aliter quoque concludi potest, et id quidem hoc modo: quoniam enim est

$$BZ : Z\Delta = ZB \times B\Delta : B\Delta \times \Delta Z$$

communi altitudine sumpta $B\Delta$, et est

$$BA^2 = \Delta B \times BZ, \quad \Delta A^2 = B\Delta \times \Delta Z$$

[Eucl. VI, 8 coroll.; VI, 17], erit $BA^2 : \Delta A^2 = BZ : Z\Delta$.

I p. 212, 24—25: et quoniam $\Theta Z : ZK < \Theta B : BK$] nam omnino, si datae sunt duae magnitudines inaequales, et iis adiiciuntur aequales, maior ad minorem maiorem rationem habet quam composita ad compositam.

$AB, \Gamma\Delta$ enim duae rectae inaequales sint, iisque adiiciantur $BE$, $\Delta Z$ aequales. dico, esse $AB : \Gamma\Delta > AE : \Gamma Z$.

nam quoniam $AB > \Gamma\Delta$, erit $AB : BE > \Gamma\Delta : BE$ [Eucl. V, 8], h. e. $AB : BE > \Gamma\Delta : \Delta Z$; quare etiam propter ea, quae antea demonstrauimus [supra p. 16, 12 sq.], componendo $AE : EB > \Gamma Z : \Delta Z$.[1])

I p. 212, 27—28: quare $\Theta Z \times ZH < ZK^2$] nam[2]) si tres rectae datae sunt in proportione continua, ut $A$, $B$, $\Gamma$, ita ut sit $A : B < B : \Gamma$, rectangulum extremis comprehensum minus erit quadrato mediae, h. e. $A \times \Gamma < B^2$. si enim

1) Tum conuertendo (Pappus VII, 48 p. 686)

$$AE : AB < \Gamma Z : \Gamma\Delta$$

et permutando (id. VII, 47 p. 686) $AE : \Gamma Z < AB : \Gamma\Delta$. et haec addi uoluit Torellius.

2) Cfr. Pappus VII, 58 p. 696.

---

**2** ἀπὸ $B\Delta$] $B^2$, απο $EA$ A, ab .a B. **5** $Z\Delta$] e corr. B, $\Delta$ AB. **9** τῷ (pr.)] *Torellius*, το AB. $\Delta BZ$] *Basil.*, $zbd$ $B^2$, $\Delta ZB$ A. τὸ] A, ei quod B. **12—13** signa om. A, hab. BG. **13** ἥπερ] *Torellius* ex I p. 212, 25, om. A, quam B. **20** $\Gamma Z$] A, post ras. 2 litt. B. **26—27** signa om. A, hab. BG. **28** $A$, $B$, $\Gamma$] A, in ras. maiore $B^2$.

*B*, τὴν *B* πρὸς ἄλλην τινά, ἔσται πρὸς μείζονα τῆς *Γ*, εἴπερ δεῖ ἐλαττῶσαι τὸν τῆς *B* πρὸς *Γ* λόγον. καὶ ἔσται τὸ ὑπὸ τῆς *A* καὶ τῆς μείζονος τῆς *Γ* ἴσον τῷ ἀπὸ τῆς *B*· ὥστε τὸ ὑπὸ τῶν *A*, *Γ* ἐλασσόν ἐστι τοῦ ἀπὸ τῆς *B*.

Τὸ ἄρα ὑπὸ *ΘZH* πρὸς τὸ ἀπὸ *ZH* ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ *KZ* πρὸς τὸ ἀπὸ *ZH*] ὡς γὰρ ἡ *ΘZ* πρὸς *ZH*, οὕτως τὸ ὑπὸ *ΘZH* πρὸς τὸ ἀπὸ *ZH*, τὸ δὲ ὑπὸ *ΘZH* τοῦ ἀπὸ *ZK* ἔλασσον· τὸ δὲ μεῖζον πρὸς τὸ αὐτὸ μείζονα λόγον ἔχει ἤπερ τὸ ἔλασσον.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ *BE* τῇ *EΔ*, ἔλασσον ἄρα τὸ ὑπὸ τῶν *BZΔ* τοῦ ὑπὸ τῶν *BEΔ*] τὸ μὲν γὰρ ὑπὸ *BEΔ* ἴσον ἐστὶ τῷ ἀπὸ *EΔ*, τὸ δὲ ὑπὸ *BZΔ* μετὰ τοῦ ἀπὸ *EZ* ἴσον ἐστὶ τῷ αὐτῷ. καὶ δῆλον, ὅτι, ὅσῳ τῆς διχοτομίας ἀφέστηκεν τὸ *Z* μείζονι, ἔλασσόν ἐστι τοῦ ὑπὸ τῶν ἴσων· μετὰ γὰρ μείζονος τοῦ ἀπὸ τῆς μεταξὺ τῶν τομῶν ἴσον γίνεται τῷ ὑπὸ τῶν ἴσων. ὥστε ἡ εὐθεῖα κἂν εἰς ἄνισα τέμνηται κατ' ἄλλο καὶ ἄλλο σημεῖον, τὸ ὑπὸ τῶν τμημάτων τῶν ἔγγιον τῆς διχοτομίας μεῖζόν ἐστι τοῦ ὑπὸ τῶν ἀπωτέρων τμημάτων.




Ἡ *ZB* ἄρα πρὸς *BE* ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ *EΔ* πρὸς *ΔZ*] καθόλου γάρ, ἐὰν τέσσαρες ὅροι ὦσιν, ὡς οἱ *A*, *B*, *Γ*, *ΔE*, καὶ ᾖ τὸ ὑπὸ τῶν *A*, *ΔE* ἔλασσον τοῦ ὑπὸ *B*, *Γ*, ὁ *A* πρὸς τὸν *B* ἐλάσσονα λόγον ἔχει ἤπερ ὁ *Γ* πρὸς *ΔE*.

ἔστω γὰρ τῷ ὑπὸ τῶν *B*, *Γ* ἴσον τὸ ὑπὸ τῶν *A*, *ZE*· ἔστιν ἄρα, ὡς ὁ *A* πρὸς τὸν *B*, ὁ *Γ* πρὸς τὸν *ZE*. ὁ δὲ *Γ* πρὸς τὸν *ZE* ἐλάσσονα

---

**5** *ΘZH*] deinde ins. hoc est que *tz* ad *zh* mg. B². **8** *ZK*] e corr. B, *ZH* AB. **10** *τῇ*] B, *της* A. **11** *BZΔ*] B², *BEΔ*

fecerimus, ut $A : B$, ita $B$ ad aliam aliquam, erit ad maiorem recta $\Gamma$, siquidem ratio $B : \Gamma$ minuenda est [Eucl. V, 8]. et rectangulum comprehensum recta $A$ rectaque illa maiore quam recta $\Gamma$ aequale est quadrato $B^2$; quare $A \times \Gamma < B^2$.

I p. 212, 28—214, 2: itaque

$$\Theta Z \times ZH : ZH^2 < KZ^2 : ZH^2]$$

nam $$\Theta Z : ZH = \Theta Z \times ZH : ZH^2,$$

et $\Theta Z \times ZH < ZK^2$; maius uero ad idem maiorem rationem habet quam minus [Eucl. V, 8].

I p. 214, 7—9: et quoniam $BE = E\Delta$, erit

$$BZ \times Z\Delta < BE \times E\Delta]$$

nam $BE \times E\Delta = E\Delta^2$, et $BZ \times Z\Delta + EZ^2 = E\Delta^2$ [Eucl. II, 5]. et adparet, quo maiore spatio punctum Z a medio puncto distet, eo minus ⟨$BZ \times Z\Delta$ rectangulum⟩ erit rectangulo partibus aequalibus comprehenso; nam eo maius erit quadratum rectae inter sectiones positae, quocum ⟨rectangulum $BZ \times Z\Delta$⟩ aequale est rectangulo partibus aequalibus comprehenso. quare etiam, si recta in partes inaequales diuiditur in pluribus punctis, rectangulum partibus medio puncto propioribus comprehensum maius est rectangulo partibus remotioribus comprehenso.

I p. 214, 9—10: itaque $ZB : BE < E\Delta : \Delta Z$] nam omnino, si dati sunt quattuor termini, uelut $A$, $B$, $\Gamma$, $\Delta E$, et est $A \times \Delta E < B \times \Gamma$, erit $A : B < \Gamma : \Delta E$.[1]) sit enim $A \times ZE = B \times \Gamma$; erit igitur [Eucl. VI, 16]

$$A : B = \Gamma : ZE.$$

1) Cfr. Eutocius ad Apollon. II p. 248, 8 sq., Pappus VII, 59 p. 696.

---

AB. $BE\Delta$] B², $BZ\Delta$ A. **12** $BE\Delta$] e corr. B, $B\Delta E$ A. **14** *ἔστι*] A, om. B. **16** *τομῶν*] B, *νομων* A. *γίνεται*] B, *γαρ* comp. A. **20—21** signa om. A, hab. B. **22** *ὥσιν ὡς*] scripsi, sint B, *ως* A, *ὥσιν* post *ἐὰν* ins. *Torellius*. **26** *τῷ*] scripsi, *το* AB. *τὸ*] scripsi, *τω* AB. **27** ZE] B², Z AB. **28** ZE (alt.)] B², Z A.

λόγον ἔχει ἥπερ πρὸς τὸν *EΔ*· καὶ ὁ *A* ἄρα πρὸς τὸν *B* ἐλάσσονα λόγον ἔχει ἥπερ ὁ *Γ* πρὸς *ΔE*.

Ἔστιν ἄρα, ὡς ἡ *ΘB* πρὸς *BK*, τὸ ἀπὸ *ΘN* πρὸς τὸ ἀπὸ *NK*] ἐπεὶ γὰρ τῷ ὑπὸ *ΘBK* ἴσον ἐστὶ τὸ ἀπὸ *BN*, αἱ τρεῖς εὐθεῖαι ἀνάλογόν εἰσιν, ὡς ἡ *ΘB* πρὸς *BN*, ἡ *NB* πρὸς *BK*· καὶ ὡς ἡ πρώτη πρὸς τὴν τρίτην, ἡ *ΘB* πρὸς *BK*, οὕτως τὸ ἀπὸ τῆς δευτέρας πρὸς τὸ ἀπὸ τῆς τρίτης, τουτέστι τὸ ἀπὸ *BN* πρὸς τὸ ἀπὸ *BK*, ὡς δέδεικται ἀνωτέρω. πάλιν, ἐπεί ἐστιν, ὡς ἡ *ΘB* πρὸς *BN*, ἡ *NB* πρὸς *BK*, συνθέντι, ὡς ἡ *ΘN* πρὸς *NB*, ἡ *KN* πρὸς *KB*· ἐναλλάξ, ὡς ἡ *ΘN* πρὸς *NK*, ἡ *NB* πρὸς *BK*· καὶ ὡς ἄρα τὸ ἀπὸ *ΘN* πρὸς τὸ ἀπὸ *NK*, οὕτως τὸ ἀπὸ *NB* πρὸς τὸ ἀπὸ *BK*. ἀλλ' ὡς τὸ ἀπὸ *NB* πρὸς τὸ ἀπὸ *BK*, οὕτως ἐδείχθη ἡ *ΘB* πρὸς *BK*· καὶ ὡς ἄρα ἡ *ΘB* πρὸς *BK*, οὕτως τὸ ἀπὸ *ΘN* πρὸς τὸ ἀπὸ *NK*.

Τὸ δὲ ἀπὸ *ΘZ* πρὸς τὸ ἀπὸ *ZK* μείζονα λόγον ἔχει ἥπερ τὸ ἀπὸ *ΘN* πρὸς τὸ ἀπὸ *NK*] πάλιν γὰρ δύο ἀνίσοις ταῖς *ΘZ*, *ZK* πρόσκειται ἡ *NZ*, καὶ διὰ τὸ ἀνωτέρω εἰρημένον ἡ *ΘZ* πρὸς *ZK* μείζονα λόγον ἔχει ἥπερ ἡ *ΘN* πρὸς *NK*· ὥστε καὶ τὰ διπλάσια. τὸ ἄρα ἀπὸ *ΘZ* πρὸς τὸ ἀπὸ *ZK* μείζονα λόγον ἔχει ἥπερ τὸ ἀπὸ *ΘN* πρὸς τὸ ἀπὸ *NK*, τουτέστιν ἡ *ΘB* πρὸς *BK*, τουτέστιν ἡ *ΘB* πρὸς *BE*, τουτέστιν ἡ *KZ* πρὸς *ZH*.

Ἡ ἄρα *ΘZ* πρὸς *ZH* μείζονα λόγον ἔχει ἢ ἡμιόλιον τοῦ τῆς *KZ* πρὸς *ZH*] νοείσθωσαν γὰρ χωρὶς κείμεναι εὐθεῖαι, ὡς αἱ *AB*, *Γ*, *Δ*, ὥστε τὸ ἀπὸ *AB* πρὸς τὸ ἀπὸ *Γ* μείζονα λόγον ἔχειν ἥπερ τὴν *Γ* πρὸς

**3—4** signa om. A, hab. B. **3** *BK*] e corr. B, *ΘK* AB. **11** *KB*] *Basil.*, *bk* corr. ex *lb* B, *AB* A. **17** *ΘZ*] B², *ΘK* AB. **19** *ZK*] e corr. B, *ZE* A. **20** τὸ] GH, του A. **21**

sed $\Gamma : ZE < \Gamma : E\Delta$; itaque etiam

$$A : B < \Gamma : \Delta E.$$

I p. 214, 13—14: erit igitur

$$\Theta B : BK = \Theta N^2 : NK^2]$$

nam quoniam $BN^2 = \Theta B \times BK$, tres rectae proportionales erunt, $\Theta B : BN = NB : BK$ [Eucl. VI, 17]; et ut prima ad tertia, ita quadratum secundae ad quadratum tertiae, sicut supra [p. 116, 29 sqq.] demonstratum est, h. e.

$$\Theta B : BK = BN^2 : BK^2.$$

rursus, quoniam est $\Theta B : BN = NB : BK$, erit componendo [Eucl. V, 18] $\Theta N : NB = KN : KB$; permutando [Eucl. V, 17] $\Theta N : NK = NB : BK$; quare

$$\Theta N^2 : NK^2 = NB^2 : BK^2.$$

sed $NB^2 : BK^2 = \Theta B : BK$, ut demonstratum est; quare etiam $\Theta B : BK = \Theta N^2 : NK^2$.

I p. 214, 14—15: sed $\Theta Z^2 : ZK^2 > \Theta N^2 : NK^2$] rursus enim duabus rectis inaequalibus $\Theta Z$, $ZK$ adiecta est $NZ$, et propter id, quod supra dictum est [p. 192, 13 sqq.], erit $\Theta Z : ZK > \Theta N : NK$; quare etiam quadrata. itaque

$$\Theta Z^2 : ZK^2 > \Theta N^2 : NK^2,$$

h. e. $> \Theta B : BK$ [I p. 214, 13—14], h. e. $> \Theta B : BE$ [I p. 212, 19], h. e. $> KZ : ZH$ [I p. 212, 23—24].[1])

I p. 214, 18—19: itaque $\Theta Z : ZH$ ratio maior quam sesquialtera est quam ratio $KZ : ZH$] fingantur enim

1) Cfr. locus interpolatus I p. 214, 16—18. ceterum ex I p. 212, 23—24 adparet, omitti potuisse *τουτέστιν ἡ ΘΒ πρὸς ΒΕ* lin. 24.

---

*τὸ*] B, e corr. G; *του* A. 22 *ἀπὸ* (pr.)] A, a $B^2$ in ras. 25—26 cum superioribus iuncta sine signis A, signa hab. B.

τὴν Δ. λέγω, ὅτι ἡ ΑΒ πρὸς Δ μείζονα ἢ ἡμιόλιον λόγον ἔχει τοῦ, ὃν ἔχει ἡ Γ πρὸς τὴν Δ.

εἰλήφθω γὰρ τῶν Γ, Δ μέση ἀνάλογον ἡ Ε. ἐπεὶ οὖν τὸ ἀπὸ ΑΒ πρὸς τὸ ἀπὸ Γ μείζονα λόγον ἔχει ἤπερ ἡ Γ πρὸς τὴν Δ, ἀλλ' ὁ μὲν τοῦ ἀπὸ ΑΒ πρὸς τὸ ἀπὸ Γ λόγος διπλασίων ἐστὶ τοῦ τῆς ΑΒ πρὸς Γ, ὁ δὲ τῆς Γ πρὸς τὴν Δ διπλασίων ἐστὶ τοῦ τῆς Γ πρὸς Ε, καὶ ἡ ΑΒ ἄρα πρὸς Γ μείζονα λόγον ἔχει ἤπερ ἡ Γ πρὸς Ε. γεγονέτω οὖν, ὡς ἡ Ε πρὸς τὴν Γ, ἡ Γ πρὸς ΒΖ. καὶ ἐπεὶ τέσσαρες εὐθεῖαι ἑξῆς ἀνάλογόν εἰσιν αἱ ΒΖ, Γ, Ε, Δ, ἡ ΒΖ ἄρα πρὸς Δ τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΖ πρὸς Γ, τουτέστιν ἡ Γ πρὸς Ε. ἔχει δὲ καὶ ἡ Γ πρὸς Δ διπλασίονα λόγον τοῦ τῆς Γ πρὸς Ε· ἡ ἄρα ΒΖ πρὸς Δ ἡμιόλιον λόγον ἔχει τοῦ, ὃν ἔχει ἡ Γ πρὸς Δ· ὥστε ἡ ΑΒ πρὸς Δ μείζονα ἢ ἡμιόλιον λόγον ἔχει τοῦ τῆς Γ πρὸς Δ.




## Λῆμμα εἰς τὸ ἑξῆς.

Ἔστωσαν τέσσαρες ὅροι οἱ Α, Γ, Δ, Β. λέγω, ὅτι ὁ συγκείμενος λόγος ἐκ τοῦ τοῦ ὑπὸ τῶν Α, Β πρὸς τὸ ἀπὸ Γ μετὰ τοῦ τῆς Β πρὸς Δ λόγου ὁ αὐτός ἐστι τῷ τοῦ ὑπὸ Α, Β ἐπὶ τὴν Β πρὸς τὸ ἀπὸ Γ ἐπὶ τὴν Δ.

ἔστω γὰρ τῷ μὲν ὑπὸ Α, Β ἴσος ὁ Κ, τῷ δὲ ἀπὸ Γ ἴσος ὁ Δ, καὶ γεγονέτω, ὡς ὁ Β πρὸς Δ, οὕτως ὁ Λ πρὸς Μ· ὁ ἄρα τοῦ Κ πρὸς Μ λόγος σύγκειται ἐκ τοῦ τοῦ Κ πρὸς Λ, τουτέστι τοῦ ὑπὸ Α, Β πρὸς τὸ ἀπὸ Γ, καὶ τοῦ Λ πρὸς Μ, τουτέστι τοῦ Β πρὸς Δ. ὁ δὴ Κ τὸν Β πολλαπλασιάσας τὸν Ν ποιείτω, ὁ δὲ Λ τὸν Β πολλαπλασιάσας τὸν Ξ ποιείτω, τὸν δὲ Δ πολλαπλασιάσας τὸν

seorsum positae rectae quaedam, ut $AB$, $\Gamma$, $\Delta$, ita ut sit $AB^2 : \Gamma^2 > \Gamma : \Delta$. dico, esse $AB : \Delta > \Gamma^{\frac{3}{2}} : \Delta^{\frac{3}{2}}$.

nam sumatur inter $\Gamma$, $\Delta$ media proportionalis $E$. iam quoniam est $AB^2 : \Gamma^2 > \Gamma : \Delta$, ratio autem $AB^2 : \Gamma^2$ duplex est quam $AB : \Gamma$ et ratio $\Gamma : \Delta$ duplex quam ratio $\Gamma : E$ [Eucl. V def. 10], erit etiam $AB : \Gamma > \Gamma : E$. fiat igitur $\Gamma : BZ = E : \Gamma$. et quoniam quattuor rectae $BZ$, $\Gamma$, $E$, $\Delta$ proportionales sunt in proportione continua, erit [Eucl. V def. 11] $BZ : \Delta = BZ^3 : \Gamma^3 = \Gamma^3 : E^3$. uerum etiam

$$\Gamma : \Delta = \Gamma^2 : E^2;$$

quare $BZ : \Delta = \Gamma^{\frac{3}{2}} : \Delta^{\frac{3}{2}}$; ergo $AB : \Delta > \Gamma^{\frac{3}{2}} : \Delta^{\frac{3}{2}}$.

### Lemma ad sequentia.

Dati sint termini quattuor $A$, $\Gamma$, $\Delta$, $B$. dico, esse

$$(A \times B : \Gamma^2) \times (B : \Delta) = (A \times B) \times B : \Gamma^2 \times \Delta.$$

sit enim $K = A \times B$, $\Lambda = \Gamma^2$, et fiat $\Lambda : M = B : \Delta$; itaque $K : M = (K : \Lambda) \times (\Lambda : M) = (A \times B : \Gamma^2) \times (B : \Delta)$.

sit igitur $K \times B = N$, $\Lambda \times B = \Xi$, $\Lambda \times \Delta = O$. iam quoniam $K = A \times B$, et $N = K \times B$, erit

$$N = (A \times B) \times B.$$

---

**6** *διπλασίων*] scripsi, *διπλασιον* A, *διπλάσιος* G. **7** *τοῦ*] e corr. $B^2$G, *του απο* A. **14** *καὶ*] A, om. B. **21** *τοῦ τοῦ*] $B^2$, *του* AB. **22** *τῷ τοῦ*] B, *τῷ* GH, *το* A. **26** *τοῦ τοῦ*] scripsi, *του* A, ex proportione B. **28** *τοῦ* (pr.)] A, ex proportione B. **30** *τὸν O*] A, faciat *o* B. In fig. rectae $A$, $\Gamma$, $B$, $\Delta$ et $K$, $\Lambda$, $M$ et $N$, $\Xi$, $O$ inter se aequales in AB.

*O.* ἐπεὶ οὖν τὸ ὑπὸ τῶν *A*, *B* ὁ *K* ἐστιν, ὁ δὲ *K* τὸν *B* πολλαπλασιάσας τὸν *N* πεποίηκεν, ὁ ἄρα *N* ἐστιν ὁ ὑπὸ *A*, *B* ἐπὶ τὸν *B*. πάλιν, ἐπεὶ τὸ ἀπὸ *Γ* ὁ *Λ* ἐστιν, ὁ δὲ *Λ* τὸν *Δ* πολλαπλασιάσας τὸν *O* πεποίηκεν, ὁ *O* ἄρα ἐστὶν ὁ ἀπὸ τοῦ *Γ* ἐπὶ τὸν *Δ*· ὥστε ὁ τοῦ ὑπὸ *A*, *B* ἐπὶ τὸν *B* πρὸς τὸ ἀπὸ *Γ* ἐπὶ τὸν *Δ* λόγος ὁ αὐτός ἐστι τῷ τοῦ *N* πρὸς *O*. δεῖ ἄρα δεῖξαι, ὅτι ὁ τοῦ *K* πρὸς *M* λόγος ὁ αὐτός ἐστι τῷ τοῦ *N* πρὸς *O*.

ἐπεὶ οὖν ἑκάτερος τῶν *K*, *Λ* τὸν *B* πολλαπλασιάσας ἑκάτερον τῶν *N*, *Ξ* πεποίηκεν, ἔστιν ἄρα, ὡς ὁ *K* πρὸς τὸν *Λ*, οὕτως ὁ *N* πρὸς *Ξ*. πάλιν, ἐπεὶ ὁ *Λ* ἑκάτερον τῶν *B*, *Δ* πολλαπλασιάσας ἑκάτερον τῶν *Ξ*, *O* πεποίηκεν, ἔστιν ἄρα, ὡς ὁ *B* πρὸς *Δ*, ὁ *Ξ* πρὸς *O*. ἀλλ' ὡς ὁ *B* πρὸς *Δ*, ὁ *Λ* πρὸς τὸν *M*· καὶ ὡς ἄρα ὁ *Λ* πρὸς *M*, ὁ *Ξ* πρὸς *O*. οἱ ἄρα *K*, *Λ*, *M* τοῖς *N*, *Ξ*, *O* ἐν τῷ αὐτῷ λόγῳ εἰσὶν σύνδυο λαμβανόμενοι· καὶ δι' ἴσου ἄρα ἐστίν, ὡς ὁ *K* πρὸς *M*, οὕτως ὁ *N* πρὸς *O*. καί ἐστιν ὁ τοῦ *K* πρὸς *M* λόγος ὁ αὐτὸς τῷ συγκειμένῳ ἐκ τοῦ τοῦ ὑπὸ *A*, *B* πρὸς τὸν ἀπὸ *Γ* καὶ τοῦ, ὃν ἔχει ὁ *B* πρὸς *Δ*, ὁ δὲ τοῦ *N* πρὸς *O* λόγος ὁ αὐτός ἐστι τῷ τοῦ ὑπὸ *A*, *B* ἐπὶ τὸν *B* πρὸς τὸν ἀπὸ *Γ* ἐπὶ τὸν *Δ*· ὁ ἄρα συγκείμενος λόγος ἐκ τοῦ τοῦ ὑπὸ *A*, *B* πρὸς τὸν ἀπὸ *Γ* καὶ τοῦ, ὃν ἔχει ὁ *B* πρὸς *Δ*, ὁ αὐτός ἐστι τῷ τοῦ ὑπὸ *A*, *B* ἐπὶ τὸν *B* πρὸς τὸν ἀπὸ *Γ* ἐπὶ τὸν *Δ*.

φανερὸν δὲ καί, ὅτι τὸ ὑπὸ *A*, *B* ἐπὶ τὸν *B* ἴσον ἐστὶ τῷ ἀπὸ τοῦ *B* ἐπὶ τὸν *A*. ἐπεὶ γάρ ἐστιν, ὡς ὁ *A* πρὸς τὸν *B*, οὕτως τὸ ὑπὸ *A*, *B* πρὸς τὸ ἀπὸ τοῦ *B* τοῦ *B* κοινοῦ ὕψους λαμβανομένου, ἐὰν δὲ τέσσαρες ὅροι ἀνάλογον ὦσιν, τὸ ὑπὸ τῶν ἄκρων ἴσον ἐστὶ τῷ ὑπὸ τῶν μέσων, ὁ ἄρα ὑπὸ *A*, *B* ἐπὶ τὸν *B* ἴσος ἐστὶ τῷ ἀπὸ τοῦ *B* ἐπὶ τὸν *A*.

rursus, quoniam $\Lambda = \Gamma^2$ et $O = \Lambda \times \Delta$, erit $O = \Gamma^2 \times \Delta$; quare $N : O = (\Lambda \times B) \times B : \Gamma^2 \times \Delta$. itaque demonstrandum est, esse $K : M = N : O$.

iam quoniam $K \times B = N$, $\Lambda \times B = \Xi$, erit

$$K : \Lambda = N : \Xi.$$

rursus, quoniam $\Lambda \times B = \Xi$, $\Lambda \times \Delta = O$, erit

$$B : \Delta = \Xi : O.$$

sed $B : \Delta = \Lambda : M$; itaque etiam $\Lambda : M = \Xi : O$. ergo $K$, $\Lambda$, $M$ et $N$, $\Xi$, $O$ binae simul sumptae in eadem proportione sunt; quare etiam ex aequo erit [Eucl. V, 22] $K : M = N : O$. et $K : M = (\Lambda \times B : \Gamma^2) \times (B : \Delta)$,

$$N : O = (\Lambda \times B) \times B : \Gamma^2 \times \Delta;^1)$$

ergo $(\Lambda \times B : \Gamma^2) \times (B : \Delta) = (\Lambda \times B) \times B : \Gamma^2 \times \Delta$.

iam uero hoc quoque adparet, esse

$$(\Lambda \times B) \times B = B^2 \times \Lambda.$$

nam quoniam est $\Lambda : B = \Lambda \times B : B^2$ communi altitudine sumpta $B$, et, si quattuor termini proportionales sunt, rectangulum extremis comprehensum aequale est rectangulo mediis comprehenso [Eucl. VI, 16], erit

$$(\Lambda \times B) \times B = B^2 \times \Lambda.$$

1) Lin. 17—21 post lin. 7 sq. superuacua sunt.

**2** $N$ (alt.)] B, $H$ A. ὁ ὑπὸ] A, quod sub B. **4** τὸν $O$] $o$ post ras. 1 litt. B, τον $B$ A. **5** ὁ ἀπὸ] A, quod ab B. **8** ὁ αὐτός] B, om. A. **16** ... λαμβ .... eras. mg. B. **18** ὁ αὐτὸς] B, αυτος A. **19** τοῦ τοῦ] proportione eius quod B, του A. τὸν] A; τὸ B, *Torellius*. **20** τῷ τοῦ] B², τω AB. **21** τὸν (sec.)] A; τὸ B, *Torellius*. **22** τοῦ τοῦ] B, του A. τὸν] A; τὸ B, *Torellius*. **23** τῷ τοῦ] B, τω A. **24** $\Lambda$, $B$] e corr. B, $\Delta B$ AB. τὸν (sec.)] A; τὸ B, *Torellius*. **26** ἐστιν] AB², om. B. **30** ὁ] A; τὸ B, *Torellius*. $\Lambda$, $B$] e corr. B, $\Lambda BE$ AB.

*Εἰς τὸ ἄλλως τοῦ η'.*

*Εἴρηται ἐν τοῖς προλαβοῦσιν, ὡς, ἐὰν δύο μεγεθῶν ληφθῇ τι μέσον, ὁ τῶν ἄκρων λόγος σύγκειται ἐκ τοῦ, ὃν ἔχει τὸ πρῶτον πρὸς τὸ μέσον, καὶ τὸ μέσον πρὸς τὸ τρίτον. ὁμοίως δὴ κἂν πλείονα μέσα ληφθῇ, ὁ τῶν ἄκρων λόγος σύγκειται ἐκ τῶν λόγων, ὧν ἔχουσι πάντα κατὰ τὸ ἑξῆς πρὸς ἄλληλα τὰ μεγέθη. καὶ ἐνταῦθα οὖν φησιν, ὅτι· ὁ τοῦ ΒΑΔ τμήματος πρὸς τὸ ΒΓΔ τμῆμα λόγος σύγκειται ἔκ τε τοῦ, ὃν ἔχει τὸ ΒΑΔ τμῆμα πρὸς τὸν κῶνον, οὗ βάσις μέν ἐστιν ὁ περὶ διάμετρον τὴν ΒΔ κύκλος, κορυφὴ δὲ τὸ Α σημεῖον, καὶ ὁ αὐτὸς κῶνος πρὸς κῶνον τὸν βάσιν μὲν ἔχοντα τὴν αὐτήν, κορυφὴν δὲ τὸ Γ σημεῖον, καὶ ὁ εἰρημένος κῶνος πρὸς τὸ ΒΓΔ τμῆμα, δηλαδὴ τοῦ ΔΑΒ τμήματος καὶ τοῦ ΒΓΔ μέσων λαμβανομένων τῶν εἰρημένων κώνων.*

*Ἀλλ' ὁ μὲν τοῦ ΒΑΔ τμήματος πρὸς τὸν ΒΑΔ κῶνον ὁ τῆς ΗΘ ἐστι πρὸς ΘΓ] διὰ τὸ πόρισμα τοῦ δευτέρου θεωρήματος τοῦ δευτέρου βιβλίου· ἐλέγετο γὰρ τὸ τμῆμα πρὸς τὸν ἐν ἑαυτῷ κῶνον τοῦτον ἔχειν τὸν λόγον, ὃν ἔχει συναμφότερος ἥ τε ἐκ τοῦ κέντρου τοῦ τῆς σφαίρας καὶ τὸ ὕψος τοῦ λοιποῦ τμήματος πρὸς τὸ ὕψος τοῦ λοιποῦ τμήματος.*

*Ὁ δὲ τοῦ ΒΑΔ κώνου πρὸς τὸν ΒΓΔ κῶνον ὁ τῆς ΑΘ ἐστι πρὸς ΘΓ] ἐπὶ γὰρ τῆς αὐτῆς βάσεως ὄντες πρὸς ἀλλήλους εἰσὶν ὡς τὰ ὕψη.*

*Ὁ δὲ τοῦ ΒΓΔ κώνου πρὸς τὸ ΒΓΔ τμῆμα ὁ τῆς ΑΘ ἐστι πρὸς ΘΖ] διὰ τὸ ἀνάπαλιν τοῦ εἰρημένου πορίσματος.*

**7** *τὰ μεγέθη*] A, om. B. In hac pag. signa nusquam adp. AB. **16** *κώνων*] B, κωνικων A. **21** *τοῦ τῆς σφαίρας*] A,

## Ad demonstrationem alteram prop. VIII.

Antea dictum est [p. 120, 12 sqq.], si inter duas magnitudines sumatur media, rationem extremorum compositam esse ex ratione, quam habeat prima ad mediam, et ratione, quam habeat media ad tertiam. similiter igitur etiam, si plures sumuntur mediae, ratio extremarum composita est ex rationibus, quas omnes deinceps magnitudines inter se habent. itaque hic quoque dicit [I p. 216, 14—20]: ratio segmenti $BA\Delta$ ad segmentum $B\Gamma\Delta$ composita est ex ratione, quam habet segmentum $BA\Delta$ ad conum, cuius basis est circulus circum diametrum $B\Delta$ descriptus, uertex autem punctum $A$, et ratione, quam habet idem conus ad conum basim habentem eandem, uerticem autem punctum $\Gamma$, et ratione, quam hic conus, quem ⟨ultimo loco⟩ commemorauimus, ad segmentum $B\Gamma\Delta$ habet, scilicet inter segmenta $\Delta AB$, $B\Gamma\Delta$ mediis sumptis conis illis.

I p. 216, 20—22: sed segmentum $BA\Delta$ ad conum $BA\Delta$ eam habet rationem, quam $H\Theta : \Theta\Gamma$] propter corollarium secundi theorematis secundi libri; ibi enim dictum est, segmentum ad conum in eo comprehensum eam habere rationem, quam recta simul radio sphaerae et altitudini reliqui segmenti aequalis ad altitudinem reliqui segmenti habeat.

I p. 216, 22—23: conus uero $\bar{B}A\Delta$ ad conum $B\Gamma\Delta$ eam, quam $A\Theta : \Theta\Gamma$] nam cum in eadem basi sint, inter se eam rationem habent, quam altitudines [I lemm. 1 p. 72].

I p. 216, 23—24: conus autem $B\Gamma\Delta$ ad segmentum $B\Gamma\Delta$ eam, quam $A\Theta : \Theta Z$] e contrario[1]) per idem illud corollarium [De sph. et cyl. II, 2 coroll.].

1) Non, uti alibi, significat: propter conuersum corollarium.

---

*τῆς σφαίρας Basil.*, om. B, sphaerae mg. $B^2$. 25 *ἐπί*] $B^2$, *επει* AB.

ὥστε ὁ τοῦ $BA\Delta$ τμήματος πρὸς τὸ $B\Gamma\Delta$ τμῆμα λόγος σύγκειται ἔκ τε τοῦ τῆς $H\Theta$ πρὸς $\Theta\Gamma$ καὶ τοῦ τῆς $A\Theta$ πρὸς $\Theta\Gamma$ καὶ τοῦ τῆς $A\Theta$ πρὸς $\Theta Z$. ὁ δὲ συγκείμενος λόγος ἔκ τε τοῦ τῆς $H\Theta$ πρὸς $\Theta\Gamma$ μετὰ τοῦ τῆς $A\Theta$ πρὸς $\Theta\Gamma$, ὁ τοῦ ὑπὸ $H\Theta A$ ἐστι πρὸς τὸ ἀπὸ $\Theta\Gamma$· τὰ γὰρ ἰσογώνια παραλληλόγραμμα λόγον ἔχει τὸν συγκείμενον ἐκ τῶν πλευρῶν. ὁ δὲ τοῦ ὑπὸ $H\Theta A$ πρὸς τὸ ἀπὸ $\Gamma\Theta$ μετὰ τοῦ τῆς $A\Theta$ πρὸς $\Theta Z$ ὁ τοῦ ὑπὸ $H\Theta A$ ἐστιν ἐπὶ τὴν $\Theta A$ πρὸς τὸ ἀπὸ $\Gamma\Theta$ ἐπὶ τὴν $\Theta Z$, ὡς δέδεικται ἐν τῷ προληφθέντι λήμματι. ὁ δὲ τοῦ ὑπὸ $H\Theta A$ ἐπὶ τὴν $\Theta A$ ὁ αὐτός ἐστι τῷ ἀπὸ $A\Theta$ ἐπὶ τὴν $\Theta H$· καὶ τοῦτο γὰρ συναποδέδεικται ἐν τῷ προληφθέντι· ὁ ἄρα τοῦ τμήματος πρὸς τὸ τμῆμα λόγος ὁ αὐτός ἐστι τῷ τοῦ ἀπὸ $A\Theta$ ἐπὶ τὴν $\Theta H$ πρὸς τὸ ἀπὸ $\Gamma\Theta$ ἐπὶ τὴν $\Theta Z$. ἐπεὶ οὖν δεῖ δεῖξαι, ὅτι τὸ τμῆμα πρὸς τὸ τμῆμα ἐλάσσονα λόγον ἔχει ἢ διπλασίονα τοῦ τῆς ἐπιφανείας πρὸς τὴν ἐπιφάνειαν λόγου, δεῖ ἄρα δεῖξαι, ὅτι τὸ ἀπὸ $A\Theta$ ἐπὶ τὴν $\Theta H$ πρὸς τὸ ἀπὸ $\Gamma\Theta$ ἐπὶ τὴν $\Theta Z$ ἐλάσσονα ἢ διπλασίονα λόγον ἔχει τοῦ, ὃν ἔχει ἡ ἐπιφάνεια τοῦ $BA\Delta$ τμήματος πρὸς τὴν ἐπιφάνειαν τοῦ $B\Gamma\Delta$, τουτέστι τοῦ, ὃν ἔχει τὸ ἀπὸ $AB$ πρὸς τὸ ἀπὸ $\Gamma B$. ἀλλ' ὡς τὸ ἀπὸ $AB$ πρὸς τὸ ἀπὸ $B\Gamma$, οὕτως ἡ $A\Theta$ πρὸς $\Theta\Gamma$· δέδεικται γὰρ τοῦτο ἐν τοῖς προλαβοῦσιν θεωρήμασιν· δεῖ ἄρα δεῖξαι, ὅτι τὸ ἀπὸ $A\Theta$ ἐπὶ τὴν $\Theta H$ πρὸς τὸ ἀπὸ $\Gamma\Theta$ ἐπὶ τὴν $\Theta Z$ ἐλάσσονα ἢ διπλασίονα λόγον ἔχει τοῦ τῆς $A\Theta$ πρὸς $\Theta\Gamma$. ἀλλὰ τοῦ τῆς $A\Theta$ πρὸς $\Theta\Gamma$ λόγου διπλάσιός ἐστιν ὁ τοῦ ἀπὸ $A\Theta$ πρὸς τὸ ἀπὸ $\Theta\Gamma$· ὅτι ἄρα τὸ ἀπὸ $A\Theta$ ἐπὶ τὴν $\Theta H$ πρὸς τὸ ἀπὸ $\Gamma\Theta$ ἐπὶ τὴν $\Theta Z$ ἐλάσσονα λόγον ἔχει ἥπερ τὸ ἀπὸ $A\Theta$ πρὸς τὸ ἀπὸ $\Theta\Gamma$. ἀλλ' ὡς τὸ ἀπὸ $A\Theta$ πρὸς τὸ ἀπὸ $\Theta\Gamma$, τῆς $\Theta H$ κοινοῦ ὕψους

quare ratio segmentorum $BA\Delta$ et $B\Gamma\Delta$ composita est ex rationibus $H\Theta : \Theta\Gamma$, $A\Theta : \Theta\Gamma$, $A\Theta : \Theta Z$. sed ratio ex $H\Theta : \Theta\Gamma$ et $A\Theta : \Theta\Gamma$ composita $= H\Theta \times \Theta A : \Theta\Gamma^2$ [I p. 216, 24—26]; nam parallelogramma, quorum anguli aequales sunt, inter se rationem ex laterum rationibus compositam habent [Eucl. VI, 23]. et $H\Theta \times \Theta A : \Gamma\Theta^2$ una cum

$$A\Theta : \Theta Z = (H\Theta \times \Theta A) \times \Theta A : \Gamma\Theta^2 \times \Theta Z$$

[I p. 216, 26—218, 2], ut demonstratum est in lemmate praemisso [p. 198, 19 sqq.]. sed

$$(H\Theta \times \Theta A) \times \Theta A \langle : \Theta\Gamma^2 \times \Theta Z \rangle$$
$$= A\Theta^2 \times \Theta H \langle : \Theta\Gamma^2 \times \Theta Z \rangle \text{ [I p. 218, 2—3]};$$

nam hoc quoque in praemisso simul demonstratum est [p. 200, 25 sqq.]; itaque ratio segmentorum est

$$= A\Theta^2 \times \Theta H : \Gamma\Theta^2 \times \Theta Z.$$

iam quoniam demonstrandum est, segmentum ad segmentum minorem quam duplicem rationem habere quam superficiem ad superficiem, demonstrandum,

$$A\Theta^2 \times \Theta H : \Gamma\Theta^2 \times \Theta Z$$

minorem quam duplicem esse quam rationem, quam habeat superficies segmenti $BA\Delta$ ad superficiem segmenti $B\Gamma\Delta$, h. e. quam $AB^2 : \Gamma B^2$ [De sph. et cyl. I, 42—43, Eucl. XII, 2]. sed $AB^2 : B\Gamma^2 = A\Theta : \Theta\Gamma$; hoc enim antea demonstratum est [p. 114, 25 ad II, 3 p. 184, 15]; itaque demonstrandum est, $A\Theta^2 \times \Theta H : \Gamma\Theta^2 \times \Theta Z$ minorem esse quam duplicem quam $A\Theta : \Theta\Gamma$ [I p. 218, 3 sqq]. sed ratio $A\Theta^2 : \Theta\Gamma^2$ duplex est quam ratio $A\Theta : \Theta\Gamma$; itaque ⟨demonstrandum est⟩, esse

$$A\Theta^2 \times \Theta H : \Gamma\Theta^2 \times \Theta Z < A\Theta^2 : \Theta\Gamma^2.$$

---

**3** *καὶ τοῦ τῆς ΑΘ πρὸς ΘΖ*] B², *και του της ΑΘ προος ΘΓ* A, om. B. In hac pag. signa nusquam adp. AB. **11** cfr. NJS. XI p. 396. *τῷ*] A, proportioni eius quod B. **12** *καὶ*] A, om. B. **18** *τὸ ἀπὸ* (pr)] *Basil., ο του απο* AB. *ΑΘ*] e corr. B, *ΑΒ* AB. **22** *ΓΒ*] A, $\overline{\gamma b}''$ B. *ΒΓ*] A, $\overline{\gamma b}''$ B. **24** *ἀπὸ*] B², om. AB. **25** *ΓΘ*] B², *ΕΘ* A. **28** *ὁ τοῦ*] A, quam eius quod B.

λαμβανομένης οὕτως τὸ ἀπὸ $A\Theta$ ἐπὶ τὴν $\Theta H$ πρὸς τὸ ἀπὸ $\Gamma\Theta$ ἐπὶ τὴν $\Theta H$· χρὴ ἄρα δειχθῆναι, ὅτι τὸ ἀπὸ $A\Theta$ ἐπὶ τὴν $\Theta H$ πρὸς τὸ ἀπὸ $\Gamma\Theta$ ἐπὶ τὴν $\Theta Z$ ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ αὐτὸ τὸ ἀπὸ $A\Theta$ ἐπὶ τὴν $\Theta H$ πρὸς τὸ ἀπὸ $\Gamma\Theta$ ἐπὶ τὴν $\Theta H$. πρὸς ὃ δὲ τὸ αὐτὸ ἐλάσσονα λόγον ἔχει, ἐκεῖνο μεῖζόν ἐστι· δεῖ ἄρα δεῖξαι, ὅτι τὸ ἀπὸ $\Gamma\Theta$ ἐπὶ τὴν $Z\Theta$ μεῖζόν ἐστι τοῦ ἀπὸ $\Gamma\Theta$ ἐπὶ τὴν $\Theta H$, τουτέστιν ὅτι μείζων ἐστὶν ἡ $Z\Theta$ τῆς $\Theta H$. ἔστι δὲ τοῦτο φανερόν· ἀνίσοις γὰρ ταῖς $A\Theta$, $\Theta\Gamma$ ἴσαι πρόσκεινται αἱ $ZA$, $\Gamma H$.

ταῦτα εἰπὼν αὐτὸς μὲν οὐκ ἐπήγαγεν τὴν σύνθεσιν, ἡμεῖς δὲ αὐτὴν προσθήσομεν.

ἐπεὶ ἡ $Z\Theta$ τῆς $\Theta H$ μείζων ἐστίν, τὸ ἀπὸ $\Gamma\Theta$ ἐπὶ τὴν $\Theta Z$ μεῖζόν ἐστι τοῦ ἀπὸ $\Gamma\Theta$ ἐπὶ τὴν $\Theta H$· ὥστε τὸ ἀπὸ $A\Theta$ ἐπὶ τὴν $\Theta H$ πρὸς τὸ ἀπὸ $\Gamma\Theta$ ἐπὶ τὴν $\Theta Z$ ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ αὐτὸ τὸ ἀπὸ $A\Theta$ ἐπὶ τὴν $\Theta H$ πρὸς τὸ ἀπὸ $\Gamma\Theta$ ἐπὶ τὴν $\Theta H$. ἀλλ' ὡς τὸ ἀπὸ $A\Theta$ ἐπὶ τὴν $\Theta H$ πρὸς τὸ ἀπὸ $\Gamma\Theta$ ἐπὶ τὴν $\Theta H$, τὸ ἀπὸ $A\Theta$ πρὸς τὸ ἀπὸ $\Gamma\Theta$· τὸ ἄρα ἀπὸ $A\Theta$ ἐπὶ τὴν $\Theta H$ πρὸς τὸ ἀπὸ $\Gamma\Theta$ ἐπὶ τὴν $\Theta Z$ ἐλάσσονα λόγον ἔχει τοῦ, ὃν ἔχει τὸ ἀπὸ $A\Theta$ πρὸς τὸ ἀπὸ $\Theta\Gamma$. ἀλλ' ὁ τοῦ ἀπὸ $A\Theta$ πρὸς τὸ ἀπὸ $\Theta\Gamma$ λόγος διπλάσιός ἐστι τοῦ τῆς $A\Theta$ πρὸς $\Theta\Gamma$· τὸ ἄρα ἀπὸ $A\Theta$ ἐπὶ τὴν $\Theta H$ πρὸς τὸ ἀπὸ $\Gamma\Theta$ ἐπὶ τὴν $\Theta Z$ ἐλάσσονα ἢ διπλασίονα λόγον ἔχει τοῦ τῆς $A\Theta$ πρὸς $\Theta\Gamma$. ἀλλ' ὁ μὲν τῶν τμημάτων λόγος ὁ αὐτὸς ἐδείχθη τῷ, ὃν ἔχει τὸ ἀπὸ $A\Theta$ ἐπὶ τὴν $\Theta H$ πρὸς τὸ ἀπὸ $\Gamma\Theta$ ἐπὶ τὴν $\Theta Z$, ὁ δὲ τῶν ἐπιφανειῶν τῷ, ὃν ἔχει ἡ $A\Theta$ πρὸς $\Theta\Gamma$· τὸ ἄρα τμῆμα πρὸς τὸ τμῆμα ἐλάσσονα ἢ διπλασίονα λόγον ἔχει τοῦ τῆς ἐπιφανείας πρὸς τὴν ἐπιφάνειαν λόγου.

ἐξῆς δὲ ἀναλύων τὸ ἕτερον μέρος τοῦ θεωρήματος

ἐπάγει· φημὶ δή, ὅτι τὸ μεῖζον τμῆμα πρὸς τὸ 32
ἔλασσον μείζονα λόγον ἔχει ἢ ἡμιόλιον τοῦ τῆς
ἐπιφανείας πρὸς τὴν ἐπιφάνειαν λόγου. ἀλλ' ὁ

sed $A\Theta^2 : \Theta\Gamma^2 = A\Theta^2 \times \Theta H : \Gamma\Theta^2 \times \Theta H$ communi altitudine sumpta $\Theta H$; itaque demonstrandum est, esse

$$A\Theta^2 \times \Theta H : \Gamma\Theta^2 \times \Theta Z < A\Theta^2 \times \Theta H : \Gamma\Theta^2 \times \Theta H$$

[I p. 218, 7—10]. uerum, ad quod idem minorem rationem habet, id maius est [Eucl. V, 10]; itaque demonstrandum est, esse $\Gamma\Theta^2 \times Z\Theta > \Gamma\Theta^2 \times \Theta H$ [I p. 218, 10—11], h. e. esse $Z\Theta > \Theta H$ [I p. 218, 11—12]. hoc autem manifestum est; nam rectis inaequalibus $A\Theta$, $\Theta\Gamma$ adiectae sunt aequales rectae $ZA$, $\Gamma H$.

his dictis ipse compositionem non adiunxit, nos uero eam adiiciemus.

quoniam $Z\Theta > \Theta H$, erit $\Gamma\Theta^2 \times \Theta Z > \Gamma\Theta^2 \times \Theta H$; quare

$$A\Theta^2 \times \Theta H : \Gamma\Theta^2 \times \Theta Z < A\Theta^2 \times \Theta H : \Gamma\Theta^2 \times \Theta H.$$

sed $A\Theta^2 \times \Theta H : \Gamma\Theta^2 \times \Theta H = A\Theta^2 : \Gamma\Theta^2$; itaque

$$A\Theta^2 \times \Theta H : \Gamma\Theta^2 \times \Theta Z < A\Theta^2 : \Theta\Gamma^2.$$

sed ratio $A\Theta^2 : \Theta\Gamma^2$ duplex est quam ratio $A\Theta : \Theta\Gamma$; quare ratio $A\Theta^2 \times \Theta H : \Gamma\Theta^2 \times \Theta Z$ minor quam duplex est quam $A\Theta : \Theta\Gamma$. sed demonstratum est, rationem segmentorum eandem esse atque $A\Theta^2 \times \Theta H : \Gamma\Theta^2 \times \Theta Z$ [u. supra p. 204, 13 sqq.], et rationem, quam habeant inter se superficies, eandem esse atque $A\Theta : \Theta\Gamma$ [p. 204, 21 sqq.]; ergo segmenta inter se minorem quam duplicem rationem habent quam superficies inter se.

deinceps alteram partem theorematis resoluens adiungit [I, 218, 13—19]: dico igitur, etiam maius segmentum ad minus maiorem quam sesquialteram ra-

**2** $\Theta H$] A; *th*, *-h* in ras., B². **2—5** et **7—9** signa non adp. AB. **14** τὸ] quod e corr. B, τον A. **17—18** $A\Theta$ ἐπὶ τὴν $\Theta H$] B², $A\Theta$ AB. **18** τὸ ἀπὸ $A\Theta$] ita quod ab *at* mg. B², om. AB. **26** τῷ] BGH, το A. **27** τῷ] addidi, om. A; ἓ B, del. B². **32** signa adp. B, om. A.

μὲν τῶν τμημάτων ἐδείχθη ὁ αὐτὸς τῷ, ὃν ἔχει τὸ ἀπὸ $A\Theta$ ἐπὶ τὴν $\Theta H$ πρὸς τὸ ἀπὸ $\Gamma\Theta$ ἐπὶ τὴν $\Theta Z$, τοῦ δὲ τῆς ἐπιφανείας πρὸς τὴν ἐπιφάνειαν λόγου ἡμιόλιός ἐστιν ὁ τοῦ ἀπὸ $AB$ κύβου πρὸς τὸν ἀπὸ τῆς $B\Gamma$ κύβον] τοῦ γὰρ τῆς $AB$ πρὸς $B\Gamma$ διπλάσιος μέν ἐστιν ὁ τοῦ ἀπὸ $AB$ τετραγώνου πρὸς τὸ ἀπὸ $B\Gamma$ τετράγωνον, τριπλάσιος δὲ ὁ τοῦ ἀπὸ τῆς $AB$ κύβου πρὸς τὸν ἀπὸ τῆς $B\Gamma$ κύβον. ἀλλ' ὡς ὁ ἀπὸ τῆς $AB$ κύβος πρὸς τὸν ἀπὸ τῆς $B\Gamma$ κύβον, οὕτως ὁ ἀπὸ $A\Theta$ κύβος πρὸς τὸν ἀπὸ τῆς $\Theta B$ κύβον· ὡς γὰρ ἡ $AB$ πρὸς τὴν $B\Gamma$, οὕτως ἡ $A\Theta$ πρὸς $\Theta B$ διὰ τὴν ὁμοιότητα τῶν $AB\Gamma$, $AB\Theta$ τριγώνων, ἐὰν δὲ ὦσιν τέσσαρες εὐθεῖαι ἀνάλογον, καὶ τὰ ἀπ' αὐτῶν στερεὰ τὰ ὅμοια καὶ ὁμοίως ἀναγεγραμμένα ἀνάλογόν εἰσιν· ὥστε ὁ ἀπὸ τῆς $A\Theta$ κύβος πρὸς τὸν ἀπὸ τῆς $\Theta B$ κύβον ἡμιόλιον λόγον ἔχει τοῦ, ὃν ἔχει τὸ ἀπὸ $AB$ τετράγωνον πρὸς τὸ ἀπὸ $B\Gamma$ τετράγωνον, τουτέστιν ἡ ἐπιφάνεια πρὸς τὴν ἐπιφάνειαν. ἀλλ' ὡς τὸ τμῆμα πρὸς τὸ τμῆμα, οὕτως τὸ ἀπὸ $A\Theta$ ἐπὶ τὴν $\Theta H$ πρὸς τὸ ἀπὸ $\Gamma\Theta$ ἐπὶ τὴν $\Theta Z$. φημὶ οὖν, ὅτι τὸ ἀπὸ $A\Theta$ ἐπὶ τὴν $\Theta H$ πρὸς τὸ ἀπὸ $\Gamma\Theta$ ἐπὶ τὴν $\Theta Z$ μεῖζονα λόγον ἔχει ἤπερ ὁ ἀπὸ τῆς $A\Theta$ κύβος πρὸς τὸν ἀπὸ τῆς $\Theta B$ κύβον, τουτέστιν ὁ τοῦ ἀπὸ $A\Theta$ πρὸς τὸ ἀπὸ $\Theta B$ καὶ ὁ τῆς $A\Theta$ πρὸς $\Theta B$· ὁ γὰρ τοῦ ἀπὸ $A\Theta$ πρὸς τὸ ἀπὸ $\Theta B$ διπλασίων τοῦ τῆς $A\Theta$ πρὸς $\Theta B$ προσλαβὼν τὸν τῆς $A\Theta$ πρὸς $\Theta B$ ὁ αὐτὸς γίνεται τῷ τοῦ ἀπὸ τῆς $A\Theta$ κύβου πρὸς τὸν ἀπὸ $\Theta B$ κύβον· ἑκάτερος γὰρ τοῦ αὐτοῦ ἐστι τριπλάσιος.

ὁ δὲ τοῦ ἀπὸ $A\Theta$ πρὸς τὸ ἀπὸ $\Theta B$ προσλαβὼν τὸν τῆς $A\Theta$ πρὸς $\Theta B$ ὁ τοῦ ἀπὸ $A\Theta$ ἐστι πρὸς τὸ ὑπὸ $\Gamma\Theta B$. ἐπεὶ γὰρ ὁ τῆς $A\Theta$ πρὸς $\Theta B$ λόγος ὁ αὐ-

τός ἐστι τῷ τῆς $\Theta B$ πρὸς $\Theta\Gamma$ τῆς $B\Theta$ μέσης ἀνάλογον 32
ὑπαρχούσης, ὁ τοῦ ἀπὸ $A\Theta$ πρὸς τὸ ἀπὸ $\Theta B$ μετὰ τοῦ
τῆς $A\Theta$ πρὸς $\Theta B$ ὁ αὐτός ἐστι τῷ τοῦ ἀπὸ $A\Theta$ πρὸς
τὸ ἀπὸ $\Theta B$ μετὰ τοῦ τῆς $B\Theta$ πρὸς $\Theta\Gamma$. ἀλλ' ὁ τῆς 35

---

tionem habere quam superficies inter se. sed demonstratum est, rationem, quam inter se habent segmenta, esse $= A\Theta^2 \times \Theta H : \Gamma\Theta^2 \times \Theta Z$. ratio autem $AB^3 : B\Gamma^3$ sesquialtera est quam ratio, quam superficies inter se habent] nam ratio $AB^3 : B\Gamma^2$ duplex est quam ratio $AB : B\Gamma$, ratio uero $AB^3 : B\Gamma^3$ triplex. sed $AB^3 : B\Gamma^3 = A\Theta^3 : \Theta B^3$; nam $AB : B\Gamma = A\Theta : \Theta B$ propter similitudinem triangulorum $AB\Gamma$, $AB\Theta$ [Eucl. VI, 8 et 4]; sin quattuor rectae proportionales sunt, etiam figurae solidae similes similiter in iis constructae proportionales sunt [Eucl. VI, 22]; itaque $A\Theta^3 : \Theta B^3$ sesquialteram rationem habet quam $AB^2 : B\Gamma^2$, h. e. quam superficies ad superficiem [u. supra p. 204, 21 sq.]. sed quam rationem segmenta habent inter se, eam habet $A\Theta^2 \times \Theta H : \Gamma\Theta^2 \times \Theta Z$.

I p. 218, 19—24: dico igitur, $A\Theta^2 \times \Theta H : \Gamma\Theta^2 \times \Theta Z$ rationem maiorem esse quam $A\Theta^3 : \Theta B^3$, h. e. maiorem quam $(A\Theta^2 : \Theta B^2) \times (A\Theta : \Theta B)$] nam ratio $A\Theta^2 : \Theta B^2$, quae duplex est quam ratio $A\Theta : \Theta B$, adsumpta ratione $A\Theta : \Theta B$ aequalis est rationi $A\Theta^3 : \Theta B^3$; utraque enim triplex est quam eadem ratio $\langle A\Theta : \Theta B \rangle$.

uerum

$$(A\Theta^2 : \Theta B^2) \times (A\Theta : \Theta B) = A\Theta^2 : \Gamma\Theta \times \Theta B$$

[I p. 218, 24—220, 2]. nam quoniam $A\Theta : \Theta B = \Theta B : \Theta\Gamma$, cum $B\Theta$ media sit proportionalis, erit

$$(A\Theta^2 : \Theta B^2) \times (A\Theta : \Theta B) = (A\Theta^2 : \Theta B^2) \times (B\Theta : \Theta\Gamma).$$

---

In hac pag. signa non adp. A, hab. B. **7** τῆς — **8** κύβον] B, om. A. **8** ἀλλ' — **9** κύβον] $B^2$, om. B, τῆς $B\Gamma$ κυβον A. **16** πρὸς — **17** τετράγωνον] $B^2$, om. AB. **26** γίνεται] $B^2$, γαρ A. τῷ τοῦ] proporcioni eius $B^2$, τω A. **27** κύβου] B, κυβω A.

*ΒΘ πρὸς ΘΓ ὁ αὐτός ἐστι τῷ τοῦ ἀπὸ ΒΘ πρὸς τὸ ὑπὸ ΒΘΓ τῆς ΒΘ κοινοῦ ὕψους λαμβανομένης· ὥστε ὁ τοῦ ἀπὸ ΑΘ πρὸς τὸ ἀπὸ ΘΒ λόγος μετὰ τοῦ τῆς ΑΘ πρὸς ΘΒ ὁ αὐτός ἐστι τῷ τοῦ ἀπὸ ΑΘ πρὸς τὸ ἀπὸ ΘΒ μετὰ τοῦ τοῦ ἀπὸ ΒΘ πρὸς τὸ ὑπὸ ΒΘΓ. ἀλλ' ὁ τοῦ ἀπὸ ΑΘ πρὸς τὸ ὑπὸ ΒΘΓ λόγος ὁ συγκείμενός ἐστιν ἐκ τοῦ τοῦ ἀπὸ ΑΘ πρὸς τὸ ἀπὸ ΒΘ καὶ τοῦ ἀπὸ ΒΘ πρὸς τὸ ὑπὸ ΒΘΓ τοῦ ἀπὸ ΒΘ μέσου λαμβανομένου· ὥστε ὁ τοῦ ἀπὸ ΑΘ πρὸς τὸ ἀπὸ ΒΘ λόγος μετὰ τοῦ τῆς ΑΘ πρὸς ΘΒ ὁ αὐτός ἐστι τῷ τοῦ ἀπὸ ΑΘ πρὸς τὸ ὑπὸ ΒΘΓ. ὁ δὲ τοῦ ἀπὸ ΑΘ πρὸς τὸ ὑπὸ ΒΘΓ λόγος ὁ αὐτός ἐστι τῷ τοῦ ἀπὸ ΑΘ ἐπὶ τὴν ΘΗ πρὸς τὸ ὑπὸ ΒΘΓ ἐπὶ τὴν ΘΗ τῆς ΘΗ κοινοῦ ὕψους λαμβανομένης. φημὶ δή, ὅτι τὸ ἀπὸ ΑΘ ἐπὶ τὴν ΘΗ πρὸς τὸ ἀπὸ ΓΘ ἐπὶ τὴν ΘΖ μείζονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΑΘ ἐπὶ τὴν ΘΗ πρὸς τὸ ὑπὸ ΓΘΒ ἐπὶ τὴν ΘΗ. πρὸς ὃ δὲ τὸ αὐτὸ μείζονα λόγον ἔχει, ἐκεῖνο ἔλασσόν ἐστι· δεικτέον, ὅτι τὸ ἀπὸ ΓΘ ἐπὶ τὴν ΘΖ ἔλασσόν ἐστι τοῦ ὑπὸ ΒΘΓ ἐπὶ τὴν ΘΗ, ὃ ταὐτόν ἐστι τῷ δεῖξαι, ὅτι τὸ ἀπὸ ΓΘ πρὸς τὸ ὑπὸ ΓΘΒ ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ ΘΗ πρὸς ΘΖ. ἐὰν γὰρ ὦσιν τέσσαρες ὅροι, ὡς ἐνταῦθα τὸ ἀπὸ ΓΘ καὶ τὸ ὑπὸ ΓΘΒ καὶ ἡ ΘΗ καὶ ΘΖ, καὶ τὸ ὑπὸ τῶν ἄκρων ἔλασσον ἢ τοῦ ὑπὸ τῶν μέσων, ὁ πρῶτος πρὸς τὸν δεύτερον ἐλάσσονα λόγον ἔχει ἤπερ ὁ τρίτος πρὸς τὸν τέταρτον, ὡς δέδεικται ἀνωτέρω. εὐλόγως ἄρα ἐχρῆν δεῖξαι τὸ ἀπὸ ΓΘ ἐπὶ τὴν ΘΖ ἔλασσον τοῦ ὑπὸ ΓΘΒ ἐπὶ τὴν ΘΗ, ὃ ταὐτόν ἐστι τῷ δεῖξαι, ὅτι τὸ ἀπὸ ΓΘ πρὸς τὸ ὑπὸ ΓΘΒ ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ ΘΗ πρὸς ΘΖ. ἀλλ' ὡς τὸ ἀπὸ ΓΘ πρὸς τὸ ὑπὸ ΓΘΒ, ἡ ΓΘ πρὸς ΘΒ· δεῖ ἄρα δεῖξαι, ὅτι ἡ ΓΘ πρὸς*

uerum $B\Theta : \Theta\Gamma = B\Theta^2 : B\Theta \times \Theta\Gamma$ communi altitudine sumpta $B\Theta$; quare

$$(A\Theta^2 : \Theta B^2) \times (A\Theta : \Theta B) = (A\Theta^2 : \Theta B^2) \times (B\Theta^2 : B\Theta \times \Theta\Gamma).$$

sed $A\Theta^2 : B\Theta \times \Theta\Gamma = (A\Theta^2 : B\Theta^2) \times (B\Theta^2 : B\Theta \times \Theta\Gamma)$

medio sumpto $B\Theta^2$; quare

$$(A\Theta^2 : B\Theta^2) \times (A\Theta : \Theta B) = A\Theta^2 : B\Theta \times \Theta\Gamma.$$

et

$$A\Theta^2 : B\Theta \times \Theta\Gamma = A\Theta^2 \times \Theta H : (B\Theta \times \Theta\Gamma) \times \Theta H$$

[I p. 220, 2—4] communi altitudine sumpta $\Theta H$. dico igitur, esse

$$A\Theta^2 \times \Theta H : \Gamma\Theta^2 \times \Theta Z > A\Theta^2 \times \Theta H : (\Gamma\Theta \times \Theta B) \times \Theta H$$

[I p. 220, 5—8]. uerum, ad quod idem maiorem rationem habet, id minus est [Eucl. V, 10]; demonstrandum, esse $\Gamma\Theta^2 \times \Theta Z < (B\Theta \times \Theta\Gamma) \times \Theta H$, quod idem est, ac si demonstramus, esse

$$\Gamma\Theta^2 : \Gamma\Theta \times \Theta B < \Theta H : \Theta Z$$ [I p. 220, 8—12].

nam si quattuor termini sunt, ut hic $\Gamma\Theta^2$, $\Gamma\Theta \times \Theta B$, $\Theta H$, $\Theta Z$, et rectangulum extremis comprehensum minus est rectangulo mediis comprehenso, primus ad secundum minorem rationem habet quam tertius ad quartum, ut supra [p. 194, 21 sqq.] demonstratum est. itaque consequenter demonstrandum erat, esse $\Gamma\Theta^2 \times \Theta Z < (\Gamma\Theta \times \Theta B) \times \Theta H$, quod idem est, ac si demonstramus, esse

$$\Gamma\Theta^2 : \Gamma\Theta \times \Theta B < \Theta H : \Theta Z.$$

sed $$\Gamma\Theta^2 : \Gamma\Theta \times \Theta B = \Gamma\Theta : \Theta B;$$

---

In hac pag. signa non adp. A; hab. B, nisi quod ad lin. 18 sq. omisit. **5** *τοῦ τοῦ*] proportione eius quod B, *του* A. **7** *τοῦ τοῦ*] B, *του* A. **11** *ὑπὸ* (pr.)] $B^2$, *απο* A. **14** *τὸ*] B, *του* A. **16** *ἀπὸ*] $B^2$, om. AB. **18** *ὅτι*] AB, *οὖν ὅτι Torellius.* **19** *ΓΘ*] e corr. B, *ΓΔ* AB. **20** *ὃ*] A, quod $B^2$, om. B. **27** *ἔλασσον*] *Basil.*, *μειζον* AB. **28** *ὃ*] addidi, om. AB, mg. ! et ras. B. **29** *ὑπὸ*] $B^2$, om. AB.

ΘΒ ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ ΘΗ πρὸς ΘΖ, τουτέστιν ἡ ΗΘ πρὸς ΘΖ μείζονα λόγον ἔχει ἤπερ ἡ ΓΘ πρὸς ΘΒ. ἤχθω ἀπὸ τοῦ Ε τῇ ΕΓ πρὸς ὀρθὰς ἡ ΕΚ καὶ ἀπὸ τοῦ Β κάθετος ἐπ' αὐτὴν ἡ ΒΛ· ἐπίλοιπον ἡμῖν δεῖξαι δεῖ, ὅτι ἡ ΗΘ πρὸς ΘΖ μείζονα λόγον ἔχει ἤπερ ἡ ΓΘ πρὸς ΘΒ. ἴση δέ ἐστιν ἡ ΘΖ συναμφοτέρῳ τῇ ΘΑ, ΚΕ· ἡ γὰρ ΑΖ τῇ ἐκ τοῦ κέντρου ἴση ἐστίν· δεῖ ἄρα δεῖξαι, ὅτι ἡ ΗΘ πρὸς συναμφότερον τὴν ΘΑ, ΚΕ μείζονα λόγον ἔχει ἤπερ ἡ ΓΘ πρὸς ΘΒ· καὶ ἀφαιρεθείσης ἄρα ἀπὸ τῆς ΗΘ τῆς ΓΘ, ἀπὸ δὲ τῆς ΚΕ τῆς ΕΛ ἴσης τῇ ΒΘ, δεήσει δειχθῆναι, ὅτι λοιπὴ ἡ ΓΗ πρὸς λοιπὴν συναμφότερον τὴν ΑΘ, ΚΛ μείζονα λόγον ἔχει ἤπερ ἡ ΓΘ πρὸς ΘΒ. ἐπεὶ γὰρ δεῖ δειχθῆναι, ὅτι ἡ ΗΘ πρὸς συναμφότερον τὴν ΘΑ, ΚΕ μείζονα λόγον ἔχει ἤπερ ἡ ΓΘ πρὸς ΘΒ, καὶ ἐναλλάξ, ὅτι ἡ ΗΘ πρὸς ΘΓ μείζονα λόγον ἔχει ἤπερ συναμφότερος ἡ ΘΑ, ΚΕ πρὸς ΘΒ, τουτέστι πρὸς ΛΕ, καὶ διελόντι ἡ ΗΓ πρὸς ΓΘ μείζονα λόγον ἔχει ἤπερ συναμφότερος ἡ ΘΑ, ΚΛ πρὸς ΛΕ, τουτέστι πρὸς ΒΘ, ἐναλλάξ, ὅτι ἡ ΗΓ πρὸς συναμφότερον τὴν ΘΑ, ΚΛ μείζονα λόγον ἔχει ἤπερ ἡ ΓΘ πρὸς ΘΒ. ἀλλ' ὡς ἡ ΓΘ πρὸς ΘΒ, οὕτως ἡ ΒΘ πρὸς ΘΑ, τουτέστιν ἡ ΛΕ πρὸς ΑΘ· ὅτι ἄρα ἡ ΗΓ πρὸς συναμφότερον τὴν ΘΑ, ΚΛ μείζονα λόγον ἔχει ἤπερ ἡ ΛΕ πρὸς ΑΘ, καὶ ἐναλλάξ, ὅτι ἡ ΓΗ, τουτέστιν ἡ ΚΕ, πρὸς ΕΛ μείζονα λόγον ἔχει ἤπερ συναμφότερος ἡ ΚΛ, ΘΑ πρὸς ΘΑ· διελόντι, ὅτι ἡ ΚΛ πρὸς ΛΕ μείζονα λόγον ἔχει ἤπερ αὐτὴ ἡ ΚΛ πρὸς ΘΑ, τουτέστιν ὅτι ἐλάσσων ἡ ΛΕ τῆς ΘΑ ἐστιν.

ἐξῆς δὲ ἡμεῖς τὴν σύνθεσιν προσθήσομεν. ἐπεὶ ἡ ΛΕ

τῆς $A\Theta$ ἐλάσσων, ἡ ἄρα $K\Lambda$ πρὸς $\Lambda E$ μείζονα λόγον 32
ἔχει ἤπερ ἡ $K\Lambda$ πρὸς $A\Theta$· συνθέντι ἡ $KE$ πρὸς $E\Lambda$
μείζονα λόγον ἔχει ἤπερ συναμφότερος ἡ $K\Lambda$, $A\Theta$ πρὸς

---

demonstrandum igitur, esse

$$\Gamma\Theta : \Theta B < \Theta H : \Theta Z, \text{ h. e. } H\Theta : \Theta Z > \Gamma\Theta : \Theta B.$$

ducatur ab $E$ puncto ad $E\Gamma$ perpendicularis $EK$ et a $B$ puncto ad eam perpendicularis $B\Lambda$; restat, ut demonstremus, esse $H\Theta : \Theta Z > \Gamma\Theta : \Theta B$. est autem $\Theta Z = \Theta\Lambda + KE$ [I p. 220, 14—18]; nam $AZ$ radio aequalis est; itaque demonstrandum est, esse

$$H\Theta : \Theta\Lambda + KE > \Gamma\Theta : \Theta B;$$

quare etiam subtracta ab $H\Theta$ recta $\Gamma\Theta$ et a $KE$ recta $E\Lambda$ aequali rectae $B\Theta$ demonstrandum erit, esse $\Gamma H : A\Theta + K\Lambda > \Gamma\Theta : \Theta B$ [I p. 220, 18—23]. nam quoniam demonstrandum est, esse $H\Theta : \Theta\Lambda + KE > \Gamma\Theta : \Theta B$ et permutando [Pappus VII, 47] $H\Theta : \Theta\Gamma > \Theta\Lambda + KE : \Theta B$, h. e. $> \Theta\Lambda + KE : \Lambda E$, et dirimendo [Pappus VII, 51] $H\Gamma : \Gamma\Theta > \Theta\Lambda + K\Lambda : \Lambda E$, h. e. $> \Theta\Lambda + K\Lambda : B\Theta$, ⟨demonstrandum est⟩, permutando esse

$$H\Gamma : \Theta\Lambda + K\Lambda > \Gamma\Theta : \Theta B.$$

sed $\Gamma\Theta : \Theta B = B\Theta : \Theta\Lambda = \Lambda E : A\Theta$; itaque ⟨demonstrandum⟩, esse $H\Gamma : \Theta\Lambda + K\Lambda > \Lambda E : A\Theta$ [cfr. I p. 220, 23—24], et permutando, esse $\Gamma H : E\Lambda$, h. e.

$$KE : E\Lambda > K\Lambda + \Theta\Lambda : \Theta\Lambda;$$

dirimendo, esse $K\Lambda : \Lambda E > K\Lambda : \Theta\Lambda$, h. e. esse

$$\Lambda E < \Theta\Lambda \text{ [I p. 220, 24—222, 3].}$$

deinceps autem nos compositionem adiungemus. quoniam $\Lambda E < A\Theta$, erit $K\Lambda : \Lambda E > K\Lambda : A\Theta$ [Eucl. V, 8]; componendo [Pappus VII, 45] $KE : E\Lambda > K\Lambda + A\Theta : A\Theta$.

---

**3** sqq. signa non adp. AB. **6** *ἴσῃ* — **10** $\Theta B$] AB², om. B. **19** ante *ἡ* ins. quod B². **21** *ἐναλλάξ*] AB, *καὶ ἐναλλάξ Torellius.* **25** sqq. signa non adp. AB. **27** $K\Lambda$] e corr. B, $K$ AB. **28** *ὅτι*] addidi, quod supra scr. B², om. AB.

*ΑΘ. ἡ δὲ ΛΕ τῇ ΒΘ ἐστιν ἴση· ἡ ἄρα ΗΓ πρὸς ΒΘ μείζονα λόγον ἔχει ἤπερ συναμφότερος ἡ ΚΛ, ΑΘ πρὸς ΑΘ. ἐναλλάξ· ἡ ἄρα ΗΓ πρὸς συναμφότερον τὴν ΚΛ, ΑΘ μείζονα λόγον ἔχει ἤπερ ἡ ΒΘ πρὸς ΘΑ, τουτέστιν ἡ ΓΘ πρὸς ΘΒ· ἐναλλὰξ ἡ ΗΓ πρὸς ΓΘ μείζονα λόγον ἔχει ἤπερ συναμφότερος ἡ ΚΛ, ΑΘ πρὸς ΘΒ· συνθέντι ἡ ΗΘ πρὸς ΘΓ μείζονα λόγον ἔχει ἤπερ συναμφότερος ἡ ΚΛ, ΑΘ μετὰ τῆς ΘΒ, τουτέστι συναμφότερος ἡ ΑΘ, ΚΕ, πρὸς ΒΘ. ἴση δὲ ἡ ΚΕ τῇ ΑΖ· ἡ ἄρα ΗΘ πρὸς ΘΓ μείζονα λόγον ἔχει ἤπερ ἡ ΖΘ πρὸς ΘΒ· ἐναλλὰξ ἡ ΗΘ πρὸς ΘΖ μείζονα λόγον ἔχει ἤπερ ἡ ΓΘ πρὸς ΘΒ. ὡς δὲ ἡ ΓΘ πρὸς ΘΒ, οὕτως τὸ ἀπὸ ΓΘ πρὸς τὸ ὑπὸ ΓΘΒ· ἡ ἄρα ΗΘ πρὸς ΘΖ μείζονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΓΘ πρὸς τὸ ὑπὸ ΓΘΒ. καὶ διὰ τὰ πρότερον εἰρημένα τὸ ἀπὸ ΓΘ ἐπὶ τὴν ΘΖ ἔλασσόν ἐστι τοῦ ὑπὸ ΓΘΒ ἐπὶ τὴν ΘΗ· τὸ ἄρα ἀπὸ ΑΘ ἐπὶ τὴν ΘΗ πρὸς τὸ ἀπὸ ΓΘ ἐπὶ τὴν ΘΖ μείζονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΑΘ ἐπὶ τὴν ΘΗ πρὸς τὸ ὑπὸ ΓΘΒ ἐπὶ τὴν ΘΗ. ὡς δὲ τὸ ἀπὸ ΑΘ ἐπὶ τὴν ΘΗ πρὸς τὸ ὑπὸ ΓΘΒ ἐπὶ τὴν ΘΗ, οὕτως τὸ ἀπὸ ΑΘ πρὸς τὸ ὑπὸ ΓΘΒ· τὸ ἄρα ἀπὸ ΑΘ ἐπὶ τὴν ΘΗ πρὸς τὸ ἀπὸ ΓΘ ἐπὶ τὴν ΘΖ μείζονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΑΘ πρὸς τὸ ὑπὸ ΓΘΒ. ὁ δὲ τοῦ ἀπὸ ΑΘ πρὸς τὸ ὑπὸ ΒΘΓ τοῦ ἀπὸ ΒΘ μέσου λαμβανομένου σύγκειται ἔκ τε τοῦ, ὃν ἔχει τὸ ἀπὸ ΑΘ πρὸς τὸ ἀπὸ ΘΒ, καὶ τοῦ ἀπὸ ΒΘ πρὸς τὸ ὑπὸ ΒΘΓ, ὁ δὲ τοῦ ἀπὸ ΒΘ πρὸς τὸ ὑπὸ ΒΘΓ λόγος ὁ αὐτός ἐστι τῷ τῆς ΒΘ πρὸς ΘΓ, τουτέστι τῷ τῆς ΑΘ πρὸς ΒΘ· τὸ ἄρα ἀπὸ ΑΘ ἐπὶ τὴν ΘΗ πρὸς τὸ ἀπὸ ΓΘ ἐπὶ τὴν ΘΖ μείζονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΑΘ πρὸς τὸ ἀπὸ ΘΒ μετὰ τοῦ τῆς ΑΘ πρὸς ΘΒ. ὁ δὲ συγκείμενος λόγος ἔκ τε τοῦ τοῦ ἀπὸ ΑΘ πρὸς τὸ ἀπὸ*

sed $\Lambda E = B\Theta$; quare $H\Gamma : B\Theta > K\Lambda + A\Theta : A\Theta$. permutando [Pappus VII, 47] igitur

$$H\Gamma : K\Lambda + A\Theta > B\Theta : \Theta A, \text{ h. e. } > \Gamma\Theta : \Theta B;$$

permutando $H\Gamma : \Gamma\Theta > K\Lambda + A\Theta : \Theta B$; componendo

$$H\Theta : \Theta\Gamma > K\Lambda + A\Theta + \Theta B : B\Theta,$$

h. e. $> A\Theta + KE : B\Theta$. sed $KE = AZ$; quare

$$H\Theta : \Theta\Gamma > Z\Theta : \Theta B;$$

permutando $H\Theta : \Theta Z > \Gamma\Theta : \Theta B$. sed

$$\Gamma\Theta : \Theta B = \Gamma\Theta^2 : \Gamma\Theta \times \Theta B;$$

itaque $H\Theta : \Theta Z > \Gamma\Theta^2 : \Gamma\Theta \times \Theta B$. et propter ea, quae supra diximus [p. 192, 27 sqq.], erit

$$\Gamma\Theta^2 \times \Theta Z < (\Gamma\Theta \times \Theta B) \times \Theta H;$$

itaque

$$A\Theta^2 \times \Theta H : \Gamma\Theta^2 \times \Theta Z$$
$$> A\Theta^2 \times \Theta H : (\Gamma\Theta \times \Theta B) \times \Theta H.$$

sed

$$A\Theta^2 \times \Theta H : (\Gamma\Theta \times \Theta B) \times \Theta H = A\Theta^2 : \Gamma\Theta \times \Theta B;$$

quare $A\Theta^2 \times \Theta H : \Gamma\Theta^2 \times \Theta Z > A\Theta^2 : \Gamma\Theta \times \Theta B$. sed

$$A\Theta^2 : B\Theta \times \Theta\Gamma = (A\Theta^2 : \Theta B^2) \times (B\Theta^2 : B\Theta \times \Theta\Gamma)$$

medio sumpto $B\Theta^2$, et

$$B\Theta^2 : B\Theta \times \Theta\Gamma = B\Theta : \Theta\Gamma = A\Theta : B\Theta;$$

itaque

$$A\Theta^2 \times \Theta H : \Gamma\Theta^2 \times \Theta Z > (A\Theta^2 : \Theta B^2) \times (A\Theta : \Theta B).$$

---

**1** *τῇ*] B, *τῆς* A. **9** $B\Theta$] *Basil.*, $A\Theta$ AB. **14** *τὰ*] addidi, om. A. **17** *ἀπὸ* $\Gamma\Theta$] $B^2$, *ὑπο* $\Gamma\Theta B$ AB. **19** *ὡς* — **20** $\Theta H$] $B^2$, om. AB; lacunam signif. DE. **21** $\Gamma\Theta B$ — *πρὸς τὸ ἀπὸ*] $B^2$, om. AB. **23** *πρὸς τὸ ὑπὸ* $B\Theta\Gamma$ *τοῦ ἀπὸ* $B\Theta$] *Basil.*, ad id quod sub *gtb* eo add. $B^2$, quod a *tb* B, om. A. **29** post $\Gamma\Theta$ ins. *ἐπὶ τὴν* $\Theta H$ *πρὸς τὸ ἀπὸ* $\Gamma\Theta$ EGH, mg. D, non hab. B. Ante $\Theta Z$ del. *th* B. **31** *τοῦ τοῦ*] B, *τον* A.

*ΘΒ καὶ τοῦ τῆς ΑΘ πρὸς ΘΒ ὁ αὐτός ἐστι τῷ τοῦ ἀπὸ τῆς ΑΘ κύβου πρὸς τὸν ἀπὸ ΘΒ κύβον, τουτέστι τοῦ ἀπὸ ΑΒ κύβου πρὸς τὸν ἀπὸ ΒΓ κύβον· τὸ ἄρα ἀπὸ ΑΘ ἐπὶ τὴν ΘΗ πρὸς τὸ ἀπὸ ΓΘ ἐπὶ τὴν ΘΖ μείζονα λόγον ἔχει τοῦ, ὃν ἔχει ὁ ἀπὸ ΑΒ κύβος πρὸς τὸν ἀπὸ ΒΓ κύβον. ἀλλ' ὁ μὲν τοῦ ἀπὸ ΑΘ ἐπὶ τὴν ΘΗ πρὸς τὸ ἀπὸ ΓΘ ἐπὶ τὴν ΘΖ λόγος ὁ αὐτὸς ἐδείχθη τῷ τῶν τμημάτων λόγῳ, ὁ δὲ τοῦ ἀπὸ τῆς ΑΒ κύβου πρὸς τὸν ἀπὸ τῆς ΒΓ κύβον λόγος ἡμιόλιος ἐδείχθη τοῦ τῶν ἐπιφανειῶν λόγου· τὸ ἄρα τμῆμα πρὸς τὸ τμῆμα μείζονα λόγον ἔχει ἢ ἡμιόλιον τοῦ, ὃν ἔχει ἡ ἐπιφάνεια πρὸς τὴν ἐπιφάνειαν.*

## *Εἰς τὸ θ'.*

*Δῆλον δέ, ὅτι ἡ ΒΑ τῆς μὲν ΑΚ ἐλάσσων ἐστὶν ἢ διπλασία δυνάμει, τῆς δὲ ἐκ τοῦ κέντρου μείζων ἢ διπλασία] ἐπιζευχθείσης γὰρ ἀπὸ τοῦ Β ἐπὶ τὸ κέντρον τῆς πρὸς τῷ κέντρῳ ἀμβλείας γινομένης ὑπὸ τῆς ΒΑ τὸ ἀπὸ τῆς ΑΒ μεῖζόν ἐστι τῶν ἀπὸ τῶν τὴν ἀμβλεῖαν περιεχουσῶν ἴσων ὄντων· ὥστε τοῦ ἑνὸς αὐτῶν, τουτέστι τοῦ ἀπὸ τῆς ἐκ τοῦ κέντρου, μεῖζόν ἐστιν ἢ διπλάσιον. πάλιν δὲ τοῦ ἀπὸ ΑΒ ἴσου ὄντος τοῖς ἀπὸ ΑΚ, ΚΒ καὶ μείζονος ὄντος τοῦ ἀπὸ ΑΚ τοῦ ἀπὸ ΚΒ τὸ ἀπὸ ΑΒ τοῦ ἀπὸ ΑΚ ἔλασσόν ἐστιν ἢ διπλάσιον [καὶ ταῦτα μὲν ἐπὶ τοῦ σχήματος, ἐφ' οὗ σημεῖον θ, ἐν δὲ τῷ ἑτέρῳ σχήματι τἀναντία τούτοις εἰκότως λεχθήσεται].*

*Ἔστω καὶ τῇ ΕΛ ἴση ἡ ΕΝ, καὶ ἀπὸ τοῦ κύκλου τοῦ περὶ διάμετρον τὴν ΘΖ κῶνος ἔστω κορυφὴν ἔχων τὸ Ν σημεῖον. ἴσος δὴ καὶ οὗτός ἐστι τῷ κατὰ τὴν ΘΕΖ περιφέρειαν ἡμισφαιρίῳ]*

ἐπεὶ γὰρ ὁ κύλινδρος ὁ βάσιν ἔχων τὸν περὶ διάμετρον 31
τὴν ΘΖ, ὕψος δὲ τὴν ΛΕ, τοῦ μὲν κώνου τοῦ βάσιν
ἔχοντος τὴν αὐτὴν καὶ ὕψος ἴσον τριπλάσιός ἐστι, τοῦ

sed $(A\Theta^2 : \Theta B^2) \times (A\Theta : \Theta B) = A\Theta^3 : \Theta B^3 = AB^3 : B\Gamma^3$; quare $A\Theta^2 \times \Theta H : \Gamma\Theta^2 \times \Theta Z > AB^3 : B\Gamma^3$. sed demonstratum est [p. 204, 13 sqq.], $A\Theta^2 \times \Theta H : \Gamma\Theta^2 \times \Theta Z$ eandem esse ac rationem segmentorum, et [p. 208, 14 sqq.] rationem $AB^3 : B\Gamma^3$ sesquialteram esse quam rationem, quam habeant inter se superficies; ergo segmenta inter se maiorem quam sesquialteram rationem habent quam superficies.

## In prop. IX.

I p. 224, 3—6: adparet autem, esse $BA^2 < 2AK^2$, sed maiorem duplici quadrato radii] ducta enim ⟨recta⟩ a $B$ ad centrum, cum angulus ad centrum positus, sub quo subtendit recta $BA$, obtusus sit, $AB^2$ maius erit quadratis rectarum angulum obtusum comprehendentium [Eucl. II, 12] inter se aequalibus; quare maius quam duplex erit quam quadratum alterius, h. e. quam quadratum radii. rursus autem, cum sit $AB^2 = AK^2 + KB^2$ [Eucl. I, 47] et $AK^2 > KB^2$, erit $AB^2 < 2AK^2$.

I p. 226, 2—6: sit praeterea $EN = EA$, et in circulo circum diametrum $\Theta Z$ descripto construatur conus uerticem habens punctum $N$; quare etiam is hemisphaerio in ambitu $\Theta EZ$ posito aequalis est] nam quoniam cylindrus basim habens ⟨circulum⟩ circum diametrum $\Theta Z$ descriptum, altitudinem autem $\Lambda E$, triplo maior est cono basim habenti eandem altitudinemque ae-

8 *AB*] B², *AΘ* AB. **17** *κέντρον*] AB, *κέντρον τῆς BO Torellius.* *ὑπὸ τῆς BA*] AB, *τῆς ὑπὸ BOA Torellius*; fort. *τῆς ὑποτεινομένης ὑπὸ τῆς BA.* **18** *AB*] A, *ba* B. *τῶν ἀπὸ*] AB², om. B. **21** *ἴσου*] GH, equali e corr. B, *ισον* A. **24** *καὶ — 25 λεχθήσεται*] in suspicionem uocaui I p. 225 not. 1. **24** *δ* ] A, in ras. B² eras. litt. rubra. **30** *ΘEZ*] e corr. B, *ΘEZE* AB. **32** *ΛE*] B², *ΔE* AB.

δὲ ἡμισφαιρίου ἡμιόλιος, τὸ ἡμισφαίριον διπλάσιόν ἐστι τοῦ αὐτοῦ κώνου. ἔστιν δὲ καὶ ὁ κῶνος ὁ βάσιν μὲν ἔχων τὸν περὶ διάμετρον τὴν ΘΖ κύκλον, ὕψος δὲ τὴν ΑΝ, διπλάσιος τοῦ αὐτοῦ κώνου· καὶ τὸ ἡμισφαίριον ἄρα ἴσον ἐστὶ τῷ κώνῳ τῷ βάσιν μὲν ἔχοντι τὸν περὶ διάμετρον τὴν ΖΘ κύκλον, ὕψος δὲ τὴν ΑΝ.

Τὸ δὲ περιεχόμενον ὑπὸ τῶν ΑΡΓ μεῖζόν ἐστι τοῦ περιεχομένου ὑπὸ τῶν ΑΚΓ, διότι τὴν ἐλάσσονα πλευρὰν τοῦ ἐλάσσονος τοῦ ἑτέρου μείζονα ἔχει] εἴρηται γὰρ ἀνωτέρω, ὅτι, ἐὰν εὐθεῖα τμηθῇ εἰς ἄνισα κατ' ἄλλο καὶ ἄλλο σημεῖον, τὸ ὑπὸ τῶν τμημάτων τῶν κατὰ τὴν ἐγγυτέραν τῆς διχοτομίας τομὴν μεῖζόν ἐστι τοῦ ὑπὸ τῶν τμημάτων τῶν κατὰ τὴν ἀπωτέρω. ταὐτὸν δέ ἐστιν εἰπεῖν, διότι τὴν ἐλάσσονα πλευρὰν τῆς ἐλάσσονος τοῦ ἑτέρου μείζονα ἔχει· ὅσῳ γὰρ ἐλάσσων ἐστί, τοσούτῳ πλέον ἀφέστηκεν ἡ τομὴ τῆς διχοτομίας.

Τὸ δὲ ἀπὸ τῆς ΑΡ ἴσον ἐστὶ τῷ περιεχομένῳ ὑπὸ τῶν ΑΚ, ΓΞ· ἥμισυ γάρ ἐστι τοῦ ἀπὸ τῆς ΑΒ] ἐὰν γὰρ ἐπιζευχθῇ ἡ ΒΓ, διὰ τὸ ἐν ὀρθογωνίῳ τριγώνῳ ἀπὸ τῆς ὀρθῆς κάθετον ἦχθαι τὴν ΒΚ καὶ τὰ πρὸς τῇ καθέτῳ τρίγωνα ὅμοια εἶναι τῷ ὅλῳ γίνεται τὸ ὑπὸ ΓΑΚ ἴσον τῷ ἀπὸ ΑΒ· ὥστε καὶ τὸ ὑπὸ τῆς ἡμισείας τῆς ΓΑ καὶ ΑΚ, τουτέστι τὸ ὑπὸ ΓΞ, ΑΚ, ἴσον ἐστὶ τῷ ἡμίσει τοῦ ἀπὸ ΑΒ, τουτέστι τῷ ἀπὸ ΑΡ.

Μεῖζον οὖν ἐστι καὶ τὸ συναμφότερον τοῦ συναμφότερου] ἐπεὶ γὰρ ἴσον ἐστὶ τὸ ὑπὸ ΑΚ, ΓΞ τῷ ἀπὸ ΑΡ, μεῖζον δὲ τὸ ὑπὸ ΑΡΓ τοῦ ὑπὸ ΑΚΓ, ἐὰν δὲ ἀνίσοις ἴσα προστεθῇ, τὰ ὅλα ἐστὶν ἄνισα, καὶ

---

1 ante διπλάσιόν ins. ergo $B^2$. 13 τῶν (alt.)] B, om. A. ἀπωτέρω] H, αποτερω A. 16 τοσούτῳ] EH, tanto B, τοσουτο A. 17 sq. signa adp. B, om. EGH, ÷ D. 18 ὑπὸ] $AB^2$,

qualem [Eucl. XII, 10], sed dimidia parte maior hemisphaerio [De sph. et cyl. I, 34 coroll.], hemisphaerium duplo maius est eodem cono. sed conus basim habens circulum circum diametrum $\Theta Z$ descriptum, altitudinem autem $AN$, ipse quoque duplo maior est eodem cono; itaque etiam hemisphaerium aequale est cono basim habenti circulum circum diametrum $Z\Theta$ descriptum, altitudinem autem $AN$.[1])

I p. 226, 6—9: est autem $AP \times P\Gamma > AK \times K\Gamma$, quia minus latus minore latere alterius rectanguli maius habet] nam supra [p. 194, 16 sqq.] dictum est, si recta in partes inaequales in duobus punctis diuidatur, rectangulum comprehensum partibus sectione puncto medio propiore effectis maius esse rectangulo comprehenso partibus sectione remotiore effectis. hoc uero idem est, ac si dicimus, ⟨rectangulum⟩ minus latus minore latere alterius maius habere; nam quo minus ⟨latus⟩ est, eo plus sectio a puncto medio distat.

I p. 226, 9—11 et $AP^2 = AK \times \Gamma\Xi$; est enim $= \frac{1}{2} AB^2$] nam si ducitur $B\Gamma$, erit, quia in triangulo rectangulo ab angulo recto perpendicularis ducta est $BK$, et trianguli ad perpendicularem positi toti similes sunt [Eucl. VI, 8],

$$\Gamma A \times AK = AB^2;$$

quare etiam

$$\tfrac{1}{2}\Gamma A \times AK = \tfrac{1}{2} AB^2, \text{ h. e. } \Gamma\Xi \times AK = AP^2.$$

I p. 226, 11—12: itaque etiam

$$AP \times P\Gamma + AP^2 > AK \times K\Gamma + AK \times \Gamma\Xi]$$

nam quoniam

$$AK \times \Gamma\Xi = AP^2 \text{ et } AP \times P\Gamma > AK \times K\Gamma,$$

1) Commodius sequitur ex prop. 2 libri II De sph. et cyl.; nam $AN : AE = 2 : 1 = HE : HA$.

ab B. **21** *τρίγωνα*] BG, *τριγωνω* A. *γίνεται*] B, comp. G, *γαρ* comp. A. **27** *τῷ ἀπὸ AP*] *Basil.*, om. AB, quod ab *ar* ei post *ἐστὶ* lin. 26 ins. $B^2$. *τὸ ὑπὸ*] sub in ras. minore $B^2$, *το* A.

ἐκεῖνο μεῖζον, ὃ καὶ ἐξ ἀρχῆς μεῖζον, τῷ μὲν ὑπὸ *ΑΡΓ* προστεθέντος τοῦ ἀπὸ *ΑΡ*, τῷ δὲ ὑπὸ *ΑΚΓ* τοῦ ὑπὸ *ΑΚ*, *ΓΞ* μεῖζον γίνεται τὸ ὑπὸ *ΑΡΓ* μετὰ τοῦ ἀπὸ *ΑΡ* τοῦ ὑπὸ *ΑΚΓ* μετὰ τοῦ ὑπὸ *ΑΚ*, *ΓΞ*.

ἀλλὰ τὸ ὑπὸ *ΑΡΓ* μετὰ τοῦ ἀπὸ *ΑΡ* ἴσον γίνεται τῷ ὑπὸ *ΓΑΡ* διὰ τὸ δεύτερον θεώρημα τοῦ δευτέρου βιβλίου τῆς Στοιχειώσεως, τὸ δὲ ὑπὸ *ΑΚΓ* μετὰ τοῦ ὑπὸ *ΑΚ*, *ΓΞ* ἴσον τῷ ὑπὸ *ΑΚ*, *ΚΞ* διὰ τὸ πρῶτον θεώρημα τοῦ αὐτοῦ βιβλίου· ὥστε τὸ ὑπὸ *ΓΑΡ* μεῖζόν ἐστι τοῦ ὑπὸ *ΑΚΞ*.

Τῷ δὲ ὑπὸ τῶν *ΞΚΑ* ἴσον ἐστὶ τὸ ὑπὸ τῶν *ΜΚΓ*] ὑπόκειται γάρ, ὡς ἡ *ΞΓ* πρὸς *ΓΚ*, ἡ *ΜΑ* πρὸς *ΑΚ*· ὥστε καὶ συνθέντι, ὡς ἡ *ΞΚ* πρὸς *ΚΓ*, οὕτως ἡ *ΜΚ* πρὸς *ΚΑ*. καὶ τὸ ὑπὸ τῶν ἄκρων ἴσον ἐστὶ τῷ ὑπὸ τῶν μέσων· τὸ ἄρα ὑπὸ τῶν *ΞΚΑ* ἴσον ἐστὶ τῷ ὑπὸ *ΜΚΓ*. ἀλλὰ τοῦ ὑπὸ τῶν *ΞΚΑ* μεῖζον ἦν τὸ ὑπὸ *ΓΑΡ*· καὶ τὸ ὑπὸ *ΓΑΡ* ἄρα μεῖζόν ἐστι τοῦ ὑπὸ *ΜΚΓ*.

Ὥστε μείζονα λόγον ἔχει ἡ *ΑΓ* πρὸς *ΓΚ* ἤπερ ἡ *ΜΚ* πρὸς *ΑΡ*] ἐπεὶ γὰρ τέσσαρες εὐθεῖαί εἰσιν αἱ *ΓΚ*, *ΚΜ*, *ΓΑ*, *ΑΡ*, καὶ τὸ ὑπὸ πρώτης τῆς *ΓΑ* καὶ τετάρτης τῆς *ΑΡ* μεῖζόν ἐστι τοῦ ὑπὸ δευτέρας τῆς *ΜΚ* καὶ τρίτης τῆς *ΚΓ*, ἡ πρώτη ἡ *ΓΑ* πρὸς δευτέραν τὴν *ΜΚ* μείζονα λόγον ἔχει ἤπερ ἡ τρίτη ἡ *ΚΓ* πρὸς τετάρτην τὴν *ΑΡ*· καὶ ἐναλλὰξ ἡ *ΓΑ* πρὸς *ΚΓ* μείζονα λόγον ἔχει ἤπερ ἡ *ΜΚ* πρὸς *ΑΡ*.

Ὃν δὲ λόγον ἔχει ἡ *ΑΓ* πρὸς *ΓΚ*, τοῦτον ἔχει τὸ ἀπὸ τῆς *ΑΒ* πρὸς τὸ ἀπὸ τῆς *ΒΚ*] ἐπιζευχθείσης γὰρ τῆς *ΒΓ* διὰ τὸ ἐν ὀρθογωνίῳ τριγώνῳ ἀπὸ τῆς ὀρ-

1 καὶ] A, om. B. 3 γίνεται] BG, γαρ εστι compp. A. τὸ] G, eo B, del. B², του A. 4 ὑπὸ *ΑΚΓ*] sub *akg* in ras. minore B², απο *ΚΓ* A. 5 γίνεται] BG, γαρ εστι compp. A.

et si inaequalibus aequalia adduntur, summae inaequales sunt [Pseudo-Eucl. I *κοιν. ἔννν.* 4], et maius id, quod a principio maius erat, si rectangulo $AP \times P\Gamma$ additur $AP^2$ et rectangulo $AK \times K\Gamma$ rectangulum $AK \times \Gamma\Xi$, erit

$$AP \times P\Gamma + AP^2 > AK \times K\Gamma + AK \times \Gamma\Xi.$$

uerum $AP \times P\Gamma + AP^2 = \Gamma A \times AP$ propter theorema II secundi libri Elementorum [Eucl. II, 3], et

$$AK \times K\Gamma + AK \times \Gamma\Xi = AK \times K\Xi$$

propter theorema I eiusdem libri [Eucl. II, 1]; itaque

$$\Gamma A \times AP > AK \times K\Xi$$ [cfr. I p. 226, 12—13].

I p. 226, 13—14: uerum $MK \times K\Gamma = \Xi K \times KA$] nam supponitur, esse $\Xi\Gamma : \Gamma K = MA : AK$ [I p. 224, 8—9]; quare etiam componendo [Eucl. V, 18]

$$\Xi K : K\Gamma = MK : KA.$$

et rectangulum terminis extremis comprehensum aequale est rectangulo mediis comprehenso [Eucl. VI, 16]; itaque

$$\Xi K \times KA = MK \times K\Gamma.$$

sed $\Gamma A \times AP > \Xi K \times KA$; quare etiam

$$\Gamma A \times AP > MK \times K\Gamma.$$

I p. 226, 15—17: quare $A\Gamma : \Gamma K > MK : AP$] nam quoniam quattuor sunt rectae $\Gamma K$, $KM$, $\Gamma A$, $AP$, et rectangulum prima quartaque comprehensum maius est rectangulo secunda tertiaque comprehenso, h. e.

$$\Gamma A \times AP > MK \times K\Gamma,$$

prima ad secundam maiorem rationem habet quam tertia ad quartam [p. 194, 21 sqq.], h. e. $\Gamma A : MK > K\Gamma : AP$; et permutando [Pappus VII, 47] $\Gamma A : K\Gamma > MK : AP$.

I p. 226, 17—18: sed $A\Gamma : \Gamma K = AB^2 : BK^2$] ducta enim recta $B\Gamma$, quia in triangulo rectangulo ab angulo recto per-

**6** *δεύτερον*] AB, *τρίτον Torellius*, ·3· B². **11** *τὸ*] BH, *τα* A. **15** $\Xi KA$] in ras. B², $\Xi AK$ A. **16** *τοῦ*] *Basil.*, *το* AB. *τὸ*] *Basil.*, *τω* A, eo quod B. **17** $\Gamma AP$ (utrumque)] B², $A\Gamma P$ A. **18—19** signa om. A, hab. B. **20** $\Gamma K$] $\Gamma A$ *Torellius*. $\Gamma A$ (pr.)] $\Gamma K$ *Torellius*. **26—27** signa om. A, hab. B. **27** $BK$] e corr. B, $\Gamma K$ AB.

θῆς κάθετον εἶναι τὴν $BK$ γίνεται, ὡς ἡ $AΓ$ πρὸς $ΓB$, ἡ $BΓ$ πρὸς $ΓK$, καὶ διὰ τοῦτο, ὡς ἡ πρώτη πρὸς τὴν τρίτην, τουτέστιν ἡ $AΓ$ πρὸς $ΓK$, οὕτως τὸ ἀπὸ τῆς $AΓ$ πρὸς τὸ ἀπὸ τῆς $ΓB$. ὡς δὲ τὸ ἀπὸ τῆς $AΓ$ πρὸς τὸ ἀπὸ τῆς $ΓB$, οὕτως τὸ ἀπὸ $AB$ πρὸς τὸ ἀπὸ $BK$· ὅμοιον γὰρ τὸ $ABK$ τῷ $ABΓ$· ἔστιν ἄρα καί, ὡς ἡ $AΓ$ πρὸς $ΓK$, οὕτως τὸ ἀπὸ $AB$ πρὸς τὸ ἀπὸ $BK$.

ἡ δὲ $AΓ$ πρὸς $ΓK$ μείζονα λόγον ἔχει ἤπερ ἡ $MK$ πρὸς $AP$· καὶ τὸ ἀπὸ $AB$ ἄρα πρὸς τὸ ἀπὸ $BK$ μείζονα λόγον ἔχει ἤπερ ἡ $MK$ πρὸς $AP$· καὶ τῶν ἡγουμένων τὰ ἥμίση, τὸ ἥμισυ τοῦ ἀπὸ $AB$, ὅπερ ἐστὶ τὸ ἀπὸ $AP$, πρὸς τὸ ἀπὸ $BK$ μείζονα λόγον ἔχει ἤπερ ἡ ἡμίσεια τῆς $MK$ πρὸς τὴν $AP$, τουτέστιν ἡ $MK$ πρὸς τὴν διπλασίαν τῆς $AP$. ἀλλὰ τῷ ἀπὸ $AP$ ἴσον ἐστὶ τὸ ἀπὸ $ZΛ$, ἐπειδὴ ἡ μὲν $AB$ τῇ $EZ$ ὑπόκειται ἴση, ἡ δὲ $EZ$ τῆς $ZΛ$ δυνάμει διπλῆ· ἴση γὰρ ἡ $EΛ$ τῇ $ΛZ$· τῆς δὲ $AP$ διπλασία ἡ $NΛ$, ἐπεὶ καὶ τῆς $ΛZ$· ὥστε τὸ ἀπὸ $ZΛ$ πρὸς τὸ ἀπὸ $BK$ μείζονα λόγον ἔχει ἤπερ ἡ $MK$ πρὸς τὴν διπλασίαν τῆς $AP$, ἥ ἐστιν ἴση τῇ $ΛN$.

Μείζονα ἄρα λόγον ἔχει καὶ ὁ κύκλος ὁ περὶ διάμετρον τὴν $ΘZ$ πρὸς τὸν κύκλον τὸν περὶ διάμετρον τὴν $BΔ$ ἤπερ ἡ $MK$ πρὸς $NΛ$. ὥστε μείζων ἐστὶν ὁ κῶνος ὁ βάσιν μὲν ἔχων τὸν περὶ διάμετρον τὴν $ZΘ$ κύκλον, κορυφὴν δὲ τὸ $N$ σημεῖον, τοῦ κώνου τοῦ βάσιν μὲν ἔχοντος τὸν περὶ διάμετρον τὴν $BΔ$ κύκλον, κορυφὴν δὲ τὸ $M$ σημεῖον] ἐὰν γὰρ ποιήσωμεν, ὡς τὸν περὶ διάμετρον τὴν $ZΘ$ κύκλον πρὸς τὸν περὶ διάμετρον τὴν $BΔ$ κύκλον, οὕτως τὴν $KM$ πρὸς ἄλλην τινά, ἔσται πρὸς ἐλάσσονα τῆς $ΛN$. καὶ ἔσται ὁ κῶνος ὁ βάσιν ἔχων τὸν περὶ διάμετρον τὴν $ZΘ$ κύκλον, ὕψος δὲ τὴν εὑρεθεῖσαν ἐλάσ-

pendicularis est $BK$, erit

$$A\Gamma : \Gamma B = B\Gamma : \Gamma K \text{ [Eucl. VI, 8 coroll.]},$$

unde $A\Gamma : \Gamma K = A\Gamma^2 : \Gamma B^2$ [Eucl. V def. 10]. uerum

$$A\Gamma^2 : \Gamma B^2 = AB^2 : BK^2 \text{ [Eucl. VI, 4]};$$

nam $ABK \sim AB\Gamma$; itaque etiam $A\Gamma : \Gamma K = AB^2 : BK^2$.
sed $A\Gamma : \Gamma K > MK : AP$; quare etiam

$$AB^2 : BK^2 > MK : AP;$$

et sumptis dimidiis antecedentium erit $\frac{1}{2} AB^2 : BK^2$, h. e. $AP^2 : BK^2 > \frac{1}{2} MK : AP$, h. e. $> MK : 2\,AP$ [cfr. I p. 226, 19—21]. sed $Z\Delta^2 = AP^2$, quoniam suppositum est, esse

$$AB = EZ \text{ et } EZ^2 = 2\,Z\Delta^2;$$

nam $E\Delta = \Delta Z$; et $N\Delta = 2\,AP$, quia $N\Delta = 2\,\Delta Z$; itaque $Z\Delta^2 : BK^2 > MK : 2\,AP$, h. e.

$$Z\Delta^2 : BK^2 > MK : AN \text{ [I p. 226, 21—22]}.$$

I p. 226, 22—228, 4: quare etiam circulus circum diametrum $\Theta Z$ descriptus ad circulum circum diametrum $B\Delta$ descriptum maiorem rationem habet quam $MK : N\Delta$. quare conus basim habens circulum circum diametrum $Z\Theta$ descriptum, uerticem autem punctum $N$, maior est cono basim habenti circulum circum diametrum $B\Delta$ descriptum, uerticem autem punctum $M$] nam si fecerimus, ut sit, ut circulus circum diametrum $Z\Theta$ descriptus ad circulum circum diametrum $B\Delta$ descriptum, ita $KM$ ad aliam rectam, erit ad rectam minorem recta $AN$ [Eucl. XII, 2; V, 8]. et conus basim habens circulum circum diametrum $Z\Theta$ de-

---

**6** *τὸ ABK*] e corr. B, *το απο ABK* A. **10** *MK*] e corr. B, *MN* AB. *AP*] e corr. B, *APK* AB. **16** *τῆς* (pr.)] *Torellius*, *τη* AB. $Z\Delta$] e corr. $B^2$, *ZA* AB. *AZ*] $B^2$, *AZ* AB. **17** *NA*] e corr. B, *NMA* AB. **21** $\Theta Z$] *Basil.*, *BΘZ* A, *bzt* B, *zt* $B^2$. **22** *BA*] *Basil.*, *BA* AB. **26** *M*] BGH, *N* corr. in *M* D, *MN* E. **30** *AN*] *Basil.*, *AN* AB.

σονα εὐθεῖαν, ἴσος μὲν τῷ $MB\Delta$ διὰ τὸ ἀντιπεπονθέναι τὰς βάσεις τοῖς ὕψεσιν, ἐλάττων δὲ τοῦ $N\Theta Z$ διὰ τὸ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντας πρὸς ἀλλήλους εἶναι ὡς τὰ ὕψη. δῆλον οὖν, ὅτι καὶ τὸ ἡμισφαίριον τὸ κατὰ τὴν $EZ\Theta$ περιφέρειαν μεῖζόν ἐστι τοῦ τμήματος τοῦ κατὰ τὴν $B\Delta\Delta$ περιφέρειαν.

[Εὐτοκίου Ἀσκαλωνίτου ὑπόμνημα εἰς τὸ δεύτερον τῶν Ἀρχιμήδους περὶ σφαίρας καὶ κυλίνδρου ἐκδόσεως παραναγνωσθείσης τῷ Μιλησίῳ μηχανικῷ Ἰσιδώρῳ ἡμετέρῳ διδασκάλῳ].

scriptum, altitudinem autem rectam illam minorem, aequalis erit cono $MB\Delta$, quia bases in contraria proportione altitudinum sunt [De sph. et cyl. I lemm. 4 p. 74], sed $< N\Theta Z$, quia, cum in eadem basi sint, eam inter se rationem habent, quam altitudines [I lemm. 1 p. 72]. ergo adparet, etiam hemisphaerium in arcu $EZ\Theta$ positum maius esse segmento in $B\Delta\Delta$ arcu posito [I p. 228, 4—6].

[Eutocii Ascalonitae commentarius in secundum librum Archimedis de sphaera et cylindro editione recognita ab Isidoro mechanico Milesio magistro nostro].

---

2 $N\Theta Z$] $B^2$, $N\Theta\Xi$ AB. 4 sq. signa om. B. 6 $B\Delta\Delta$] in ras. $B^2$, $EZ\Theta$ A. 9 *Μιλησίῳ*] $E^2GHB^2$, *μηλησιω* AB. *Ἰσιδώρῳ*] $E^2GB^2$, *ισηδωρω* AB. In fine hoc epigramma

*Εὐτοκίου πινυτοῦ γλυκερὸς πόνος, ὅν ποτ' ἐκεῖνος*
*γράψεν τοῖς φθονεροῖς πολλάκι μεμψάμενος*

A, explicit et completa fuit translatio eius anno $\overset{i}{X}$ 1269 10 kl. novembris B.

# EUTOCII COMMENTARIUS
## IN DIMENSIONEM CIRCULI.

Ἐχόμενον ἂν εἴη τὸν ἐμὸν πληροῦντι σκοπὸν τοῖς σαφεστέροις καὶ βραχυτέρας ἐπιστάσεως δεομένοις τῶν ὑπ' Ἀρχιμήδους γεγραμμένων ἐντυγχάνοντι καὶ τὰ ὁπωσοῦν ἐν αὐτοῖς ἐπεξεργασίας δεόμενα τὸν δυνατὸν τρόπον συνεχῆ ποιεῖν τοῖς πρότερον ὑφ' ἡμῶν ἐν τῷ Περὶ σφαίρας καὶ κυλίνδρου γεγραμμένοις εὐχῆς ὡς ἀληθῶς ἀξίου τυγχάνοντος τοῦ καὶ τοῖς μείζοσι καὶ πλείονος φροντίδος δεομένοις ἐπιστῆναι. εἴη δ' ἂν ὡς πρὸς τὸ προκείμενον ἐφεξῆς τὸ γεγραμμένον Ἀρχιμήδει βιβλίδιον Κύκλου μέτρησιν τὴν ἐπιγραφὴν ἔχον, ἐν ᾧ τὴν πρόθεσιν τἀνδρὸς ἐξ αὐτῆς τῆς ἐπιγραφῆς γνωρίζομεν· βούλεται γὰρ ἐπιδεῖξαι, τίνι χωρίῳ εὐθυγράμμῳ ἴσος ἂν εἴη κύκλος, πρᾶγμα πάλαι πρὸς τῶν πρὸ αὐτοῦ κλεινῶν φιλοσόφων ἐξητημένον. δῆλον γάρ, ὅτι τουτὶ ἂν εἴη τὸ ζητούμενον, ὅπερ Ἱπποκράτης τε ὁ Χῖος καὶ Ἀντιφῶν ζητήσαντες ἐπιμελῶς ἐκείνους ἡμῖν τοὺς παραλογισμοὺς εὑρήκασιν, οὓς ἀκριβῶς εἰδέναι νομίζω τούς τε τὴν Εὐδήμου Γεωμετρικὴν ἱστορίαν ἐπεσκεμμένους καὶ τῶν Ἀριστοτελικῶν μετασχόντας κηρίων. ἀλλ' ἔστι μὲν τοῦτο τὸ βιβλίον, ὥς φησιν Ἡρακλείδης ἐν τῷ Ἀρχιμήδους βίῳ, πρὸς τὰς τοῦ βίου χρείας ἀναγκαῖον· δείκνυσιν γάρ, ὅτι ἡ περιφέρεια τῆς διαμέτρου ἐστὶ τριπλασία καὶ ἔτι ὑπερέχει ἐλάττονι μὲν ἢ ἑβδόμῳ μέρει, μείζονι δὲ ἢ δέκα ἑβδομηκοστομόνοις. τοῦτο οὖν φησιν σύνεγγυς δεῖχθαι, εὑρῆσθαι μέντοι αὐτῷ διά τινων ἑλίκων εὐθεῖαν ἴσην τῇ δοθείσῃ κύκλου περιφερείᾳ.

Consentaneum, opinor, mihi erit institutum meum persequenti, ubi in scriptis Archimedis in ea incido, quae clariora sunt et breuiorem explicationem exposcant, quaecunque in iis quoque aliquo modo elaborationem requirunt, quantum fieri possit, cum iis connectere, quae antea in opus De sphaera et cylindro scripsimus, cum certe optandum sit, ut etiam ad maiora explicatuque difficiliora adcedamus. sequitur igitur, ut in exemplari proposito, libellus ab Archimede scriptus, qui inscribitur Circuli dimensio, in quo quid sibi ille proposuerit, ex ipso titulo comperimus; conatur enim demonstrare, cui spatio rectilineo aequalis sit circulus, rem iam diu ab philosophis claris, qui ante eum floruerant, quaesitam. adparet enim, hoc illud esse, quod et Hippocrates Chius et Antipho studiose quaerentes paralogismos nobis illos inuenerint, quos satis nouisse eos puto, qui Geometriae historiam Eudemi[1]) inspexerint et ceria Aristotelica[2]) cognouerint. est autem, ut dicit Heraclides in Vita Archimedis, hic liber ad uitae usum necessarius; ostendit enim, ambitum triplo maiorem esse diametro et insuper excedere spatio, quod minus est quam $\frac{1}{7}$, maius autem quam $\frac{10}{71}$. hoc igitur dicit adpropinquando demonstratum esse, inuenisse uero eum per spirales quasdam lineas rectam dato ambitui circuli aequalem.[3])

1) Cuius hoc ipsum fragmentum seruauit Simplicius comment. in Phys. 185ª 14; cfr. Spengel, Eudemi fragm. p. 120 sq.

2) H. e. *Περὶ σοφιστ. ἐλέγχ.* 11.

3) *Περὶ ἑλίκων* prop. 18. cfr. Quaest. Arch. p. 29 not. 2.

---

Hoc opusculum om. B. *Εὐτοκιου Ασκαλωνιτου υπομνημα εις την Αρχιμηδους του κυκλου μετρησιν* A. 14 *ἐξητημένον*] *Wallis, ἐξητημένων Basil.*, εξητημενον A. 23 *ἐλάττονι*] scripsi, *ελαττον* A. *μείζονι*] scripsi, *μειζον* A.

## *Εἰς τὸ α΄ θεώρημα.*

*Τὸ πρῶτον θεώρημα καὶ τοῖς ἐπὶ ποσὸν μαθημάτων γυμνασαμένοις οὐδεμίαν ἔχον ζήτησιν φαίνεται αὐτῶν τῶν Ἀρχιμήδους ῥημάτων σαφῶς ἐκτεθειμένων καὶ τὸ συμπέρασμα πρὸς τὴν πρότασιν ἀνελλειπῶς ἀποσωζόντων.*

*δοκεῖ δέ τινι κατακεχρῆσθαι πρὸς τὴν ἀπόδειξιν πράγματι μηδέπω δεδειγμένῳ. ἐκθέμενος γὰρ τρίγωνον ὀρθογώνιόν φησιν· ἐχέτω τὴν μίαν τῶν περὶ τὴν ὀρθὴν ἴσην τῇ ἐκ τοῦ κέντρου, τὴν δὲ λοιπὴν τῇ περιφερείᾳ· ἀλλὰ περιφερείᾳ κύκλου ἴσην εὐθεῖαν λαβεῖν οὐδὲ πρὸς αὐτοῦ ἤδη δεδειγμένον εἶναι, ἀλλ' οὐδὲ ὑπ' ἄλλου παραδεδομένον. συνορᾶν δὲ ὅμως χρή, ὡς οὐδὲν ἔξω τῶν προσηκόντων ὑπ' Ἀρχιμήδους γράφεται. εἶναι γάρ τι μέγεθος τὴν περιφέρειαν τοῦ κύκλου παντί που δῆλον, οἶμαι, καὶ τοῦτο τῶν ἐφ' ἓν διαστατῶν, ἔστιν δὲ καὶ εὐθεῖα τοῦ αὐτοῦ εἴδους· κἂν εἰ μηδέπω οὖν ἐφάνη δυνατὸν περιφερείᾳ κύκλου ἴσην εὐθεῖαν πορίσασθαι, ἀλλ' ὅμως εἶναί τινα τῇ φύσει εὐθεῖαν ἴσην αὐτὸ πρὸς οὐδενός ἐστι ζητούμενον. τὸ τοίνυν καὶ πρὸς Ἀρχιμήδους προτεθὲν τοιοῦτόν ἐστιν, ὅτι τὸ τρίγωνον τὸ ὀρθογώνιον τὸ ἔχον, ὡς προείρηται, τὰς πλευρὰς ἴσον ἐστὶ τῷ κύκλῳ· ὥστε τὸ προτεθὲν ἐκθέμενος οὐδεμιᾶς ἂν καταχρήσεως κρίνοιτο, θαυμαστὸς δ' ἂν μᾶλλον κἀν τούτοις δόξειεν τοῖς οὕτως ὑπερμεγέθεσιν τῶν ζητημάτων σαφῆ καὶ ῥαδίαν τὴν εὕρησιν ἐπιτιθείς.*

*ὡς δὲ εἴρηται, οὐδεμιᾶς δεῖ ζητήσεως τῷ πρώτῳ θεωρήματι. τὸ γὰρ ΠΟΡ τρίγωνον ὅτι μεῖζόν ἐστιν ἢ τὸ ἥμισυ τοῦ ΑΖΟΜ σχήματος, καὶ ὅτι ἁπλῶς περὶ τὸν δοθέντα κύκλον δυνατὸν εὐθύγραμμον περιγράψαι, ὥστε*

## In theorema I.

Primum theorema iis, qui uel aliquatenus in mathematicis uersati sint, nullam praebere haesitationem adparet, cum ipsa uerba Archimedis et dilucide exposita sint et constructionem cum proposito plane congruentem seruent.

cuidam autem uidetur ad demonstrationem re nondum demonstrata abusus esse. supposito enim triangulo rectangulo: habeat, inquit [I p. 232, 5], alterum latus eorum, quae angulum rectum comprehendunt, radio aequale, alterum ambitui; uerum recta linea ambitui circuli aequalis quo modo sumenda sit, neque ab ipso antea demonstratum esse neque ab alio quoquam praeceptum. at tamen considerandum est, nihil inepti ab Archimede scriptum esse. nam ambitum circuli magnitudinem quandam esse et id quidem ex iis, quarum una tantum sit dimensio, inter omnes, opinor, constat; uerum etiam linea recta eiusdem generis est. itaque, etiam si nondum cognitum est, fieri posse, ut linea recta ambitui circuli aequalis construatur, at tamen hoc ipsum nemini dubium est, re ipsa exstare rectam aliquam aequalem. iam quod ipsum Archimedes proposuit, huiusmodi est, triangulum rectangulum latera habentem, qualia diximus, aequalem esse circulo; quare nullius in proposito exponendo abusus argui poterit, sed potius hic quoque admirandus uidebitur, quod quaestiones tam ingentes tam perspicua et facili inueniendi ratione resoluerit.

uerum, uti diximus, in primo theoremate nulla opus est disquisitione. nam triangulum $\Pi O P$ maiorem esse dimidia parte figurae $AZOM$ [I p. 234, 10—11], et omnino fieri posse, ut circum datum circulum figura rectilinea circum-

---

19 αὐτὸ] αὐτῇ *Basil.* 24 θαυμαστὸς] *Wurm*, θαυματος A, θαυμάσιος *Wallis.* 27 δεῖ] addidi praeeunte *Knochio*, om. A.

τὰ τμήματα τὰ μεταξὺ τῶν τοῦ κύκλου περιφερειῶν καὶ τῶν πλευρῶν τοῦ περιγραφομένου εὐθυγράμμου ἐλάττονα εἶναι τοῦ δοθέντος χωρίου, σαφῶς εἴρηται ἐν τοῖς εἰς τὸ πρῶτον τῶν Περὶ σφαίρας καὶ κυλίνδρου γεγραμμένοις ἡμῖν.

## Εἰς τὸ γ' θεώρημα.

Ἐν τούτῳ τῷ θεωρήματι συνεχῶς ἐπιταττόμεθα τοῦ δοθέντος ἀριθμοῦ τὴν τετραγωνικὴν πλευρὰν εὑρεῖν. τοῦτο δὲ ἀκριβῶς μὲν εὑρεῖν ἐπὶ ἀριθμοῦ μὴ ὄντος τετραγώνου ἀδύνατον· ἀριθμὸς μὲν γὰρ ἐφ' ἑαυτὸν πολλαπλασιαζόμενος ποιεῖ τινα τετράγωνον ἀριθμόν, ὁ ἀριθμὸς δὲ καὶ μόριον ἐφ' ἑαυτὰ γενόμενα οὐκέτι ἀριθμὸν ποιεῖ πλήρη, ἀλλὰ καὶ μόριον. ὅπως δὲ δεῖ σύνεγγυς τὴν δυναμένην πλευρὰν τὸν δοθέντα ἀριθμὸν εὑρεῖν, εἴρηται μὲν Ἥρωνι ἐν τοῖς Μετρικοῖς, εἴρηται δὲ Πάππῳ καὶ Θέωνι καὶ ἑτέροις πλείοσιν ἐξηγουμένοις τὴν Μεγάλην σύνταξιν τοῦ Κλαυδίου Πτολεμαίου· ὥστε οὐδὲν ἡμᾶς χρὴ περὶ τούτου ζητεῖν ἐξὸν τοῖς φιλομαθέσιν ἐξ ἐκείνων ἀναλέγεσθαι.

Καὶ ἡ ὑπὸ ΓΕΖ τρίτου ὀρθῆς] ἐὰν γὰρ τὴν τοῦ ἐξαγώνου περιφέρειαν διχοτομήσαντες καὶ τὸ ἥμισυ αὐτῆς πρὸς τῷ Γ ἀπολαβόντες ἐπιζεύξωμεν τὴν ΕΖ, ἔσται ἡ ὑπὸ ΓΕΖ τρίτου ὀρθῆς. ἡ γὰρ πρὸς τῷ Γ ἀποληφθεῖσα περιφέρεια ἡμίσεια οὖσα τῆς τοῦ ἐξαγώνου δωδεκάτου ἐστὶ τοῦ κύκλου· ὥστε καὶ ἡ ὑπὸ ΓΕΖ γωνία πρὸς τῷ κέντρῳ οὖσα δωδεκάτου ἐστὶ τῶν τεσσάρων ὀρθῶν· τρίτου ἄρα ὀρθῆς.

Ἡ ΕΖ ἄρα πρὸς ΖΓ λόγον ἔχει, ὃν $\overline{\tau\varsigma}$ πρὸς $\overline{\rho\nu\gamma}$] ὅτι διπλῆ ἐστιν ἡ ΕΖ τῆς ΖΓ, δῆλον ἐντεῦθεν· ἐὰν γὰρ προσεκβαλόντες τὴν ΖΓ ἐπὶ τὸ Γ καὶ ἴσην αὐτῇ

scribatur ita, ut segmenta inter ambitus circuli lateraque figurae rectilineae circumscriptae comprehensa minora sint spatio dato,[1]) perspicue a nobis expositum est in iis, quae in primum librum De sphaera et cylindro scripsimus [p. 26 sq.].

## In theorema III.

In hoc theoremate adsidue radicem quadratam dati numeri inuenire iubemur. in numero autem non quadrato hoc exacte inueniri nequit; nam numerus in se ipsum multiplicatus numerum quadratum efficit, numerus uero et fractio in se ipsa multiplicata non iam numerum plenum efficiunt, sed etiam fractionem. quo modo autem adpropinquando radix quadrata dati numeri inuenienda sit, dictum est ab Herone in Metricis, a Pappo, Theone,[2]) compluribus aliis, qui Magnam syntaxin Claudii Ptolemaei interpretati sunt; quare nos nihil adtinet de hac re quaerere, cum studiosis liceat ex illis conquirere.

I p. 236, 13—14: et $\angle \Gamma EZ$ tertia pars recti] nam si arcu hexagoni in duas partes aequales diuiso et dimidia parte eius ad $\Gamma$ posita rectam $EZ$ duxerimus, erit $\angle \Gamma EZ$ tertia pars recti. nam arcus ad $\Gamma$ positus, qui dimidia pars est arcus hexagoni, duodecima pars est circuli; quare etiam angulus $\Gamma EZ$, qui ad centrum positus est, duodecima pars est quattuor rectorum, h. e. tertia pars recti.

I p. 236, 14—15: itaque $EZ : Z\Gamma = 306 : 153$] esse $EZ = 2Z\Gamma$ sic adparet: si enim producta recta $Z\Gamma$ ad punctum $\Gamma$ uersus et posita recta ei aequali ⟨ad terminum

1) Vol. I p. 232, 9—10; cfr. omnino I p. 233 not. 4; 235 not. 2.
2) Comm. in Ptolem. p. 44 sq. (ed. Basil.); Hero, Metr. I, 8 p. 18, 22 sqq. exstat praeterea ad Syntaxin Ptolemaei introductio ex Pappo, Theone, aliis excerpta, ubi haec quoque res exponitur.

**11** ὁ ἀριθμὸς] *Wallis*, οσ (h. e. ὁ ς) A. **12** γενόμενα] A, γινόμενα *Wallis*. **18** ἑξὸν] mg. G, εξω(ν) A. **20** signa om. A, ut semper fere in hoc libello; hic illic add. $G^2$. **22** Γ] $G^2$, τριτω A. **23** τῷ] *Wallis*, το A. **27** ὀρθῆς] G, ορθη A. **30** Γ] *M Basil.*

ἀποθέμενοι ἐπιζεύξωμεν ἀπὸ τοῦ Ε, συσταθήσεται [ἡ πρὸς τῷ Γ γωνία διμοίρου ὀρθῆς. ἔστιν δὲ καὶ] ἡ πρὸς τῷ Ε γωνία διμοίρου ὀρθῆς. ἔστιν δὲ καὶ ἡ πρὸς τῷ Ζ διμοίρου· ἰσοπλεύρου ἄρα τριγώνου ἥμισύ ἐστι τὸ ΓΕΖ, καὶ διὰ τὸ τὴν βάσιν τοῦ ἰσοπλεύρου ἴσην οὖσαν τῇ ΕΖ δίχα τέμνεσθαι κατὰ τὸ Γ διπλῆ ἐστιν ἡ ΕΖ τῆς ΖΓ.

Ἡ δὲ ΕΓ πρὸς ΓΖ λόγον ἔχει, ὃν σξε πρὸς ρνγ] ἐπεὶ γὰρ ἡ ΕΖ ὑπόκειται τς, ἐὰν αὐτὰ ἐφ' ἑαυτὰ πολυπλασιάσωμεν, γενήσεται $\overset{\vartheta}{M}\overline{\gamma\chi\lambda\varsigma}$. ἡ δὲ ΓΖ ἐστι ρνγ· ὥστε τὸ ἀπ' αὐτῆς ἔσται $\overset{\beta}{M}\overline{\gamma\upsilon\vartheta}$. ἐπεὶ οὖν τὸ ἀπὸ ΕΖ ἴσον ἐστὶ τοῖς ἀπὸ ΕΓ, ΓΖ, ἐὰν ἀπὸ τοῦ ἀπὸ ΕΖ ὄντος $\overset{\vartheta}{M}\overline{\gamma\chi\lambda\varsigma}$ ἀφέλωμεν τὸ ἀπὸ ΓΖ ὑπάρχον $\overset{\beta}{M}\overline{\gamma\upsilon\vartheta}$, καταλειφθήσεται τὸ ἀπὸ ΕΓ $\overset{\zeta}{M}\overline{\sigma\kappa\xi}$, ὧν πλευρὰ τετραγωνικὴ σξε καὶ ἔτι μόριον ἐλάχιστον καὶ ἀνεπαίσθητον· λείπεται γὰρ ἡ τῶν σξε δύναμις τῆς ἀκριβοῦς μονάσιν β. οἱ δὲ πολλαπλασιασμοὶ ὑπόκεινται·

| | | |
|---|---|---|
| ἡ ΕΖ τς | ἡ ΖΓ ρνγ | τὰ δὲ σξε |
| ἐπὶ τς | ἐπὶ ρνγ | ἐπὶ σξε |
| $\overset{\vartheta}{M}\overline{\alpha\omega}$ | $\overset{\alpha}{M}\overline{\varepsilon\tau}$ | $\overset{\delta}{M}\overset{\alpha}{M}\overline{\beta\alpha}$ |
| $\overline{\alpha\omega\lambda\varsigma}$ | $\overline{\varepsilon\beta\varphi\rho}$ | $\overset{\alpha}{M}\overline{\beta\gamma\chi\tau}$ |
| ὁμοῦ $\overset{\vartheta}{M}\overline{\gamma\chi\lambda\varsigma}$ | $\overline{\tau\rho\nu\vartheta}$ | $\overline{\alpha\tau\kappa\varepsilon}$ |
| | ὁμοῦ $\overset{\beta}{M}\overline{\gamma\upsilon\vartheta}$ | ὁμοῦ $\overset{\zeta}{M}\overline{\sigma\kappa\varepsilon}$. |
| λοιπὸν τὸ ἀπὸ ΕΓ | | λείπει ἄρα μ° |
| $\overset{\zeta}{M}\overline{\sigma\kappa\xi}$ | | $\overline{\beta}$ εἰς τὸ ἀκριβές. |

Τετμήσθω οὖν ἡ ὑπὸ ΖΕΓ δίχα τῇ ΕΗ· ἔστιν ἄρα, ὡς ἡ ΖΕ πρὸς ΕΓ, ἡ ΖΗ πρὸς ΗΓ, διὰ τὸ τρίτον θεώρημα τοῦ ἕκτου βιβλίου τῆς Εὐκλείδου Στοιχειώσεως. καὶ συνθέντι, ὡς συναμφότερος ἡ ΖΕ, ΕΓ πρὸς ΕΓ, ἡ ΖΓ πρὸς ΓΗ, καὶ ἐναλλάξ, ὡς συναμ-

huius⟩ ab $E$ rectam duxerimus, construetur ad $E$ angulus, qui duabus partibus recti aequalis erit. sed etiam angulus ad $Z$ positus aequalis est duabus partibus recti; itaque $\Gamma EZ$ dimidium est trianguli aequilateri, et quia basis trianguli aequilateri, quae aequalis est rectae $EZ$, in $\Gamma$ in duas partes aequales diuiditur, erit $EZ = 2\,Z\Gamma$.

I p. 236, 15—16: et $E\Gamma : \Gamma Z = 265 : 153$] nam quoniam supponitur $EZ = 306$,[1]) erit $EZ^2 = 93636$. sed $\Gamma Z = 153$; quare $\Gamma Z^2 = 23409$. quoniam igitur

$$EZ^2 = E\Gamma^2 + \Gamma Z^2 \text{ [Eucl. I, 47]},$$

si ab $EZ^2$ siue 93636 abstulerimus $\Gamma Z^2$ siue 23409, relinquetur $E\Gamma^2 = 70227$, quorum latus quadratum est 265 praetereaque fractio minutissima et quasi insensilis; nam $265^2$ duabus unitatibus minus est uero quadrato. multiplicationes autem subiecimus:

| $EZ$ 306 | $Z\Gamma$ 153 | 265 |
|---|---|---|
| $\times$ 306 | $\times$ 153 | $\times$ 265 |
| 91800 | 15300 | 40000 |
| 1836 | 5000 | 12000 |
| summa 93636 | 2500 | 1000 |
| | 150 | 12000 |
| | 300 | 3600 |
| | 159 | 300 |
| | summa 23409 | 1325 |
| | | summa 70225 |

reliquum est $E\Gamma^2 = 70227$ itaque duabus unitatibus minus est uero.

iam secetur $\angle ZE\Gamma$ in duas partes aequales recta $EH$; est igitur $ZE : E\Gamma = ZH : H\Gamma$ [I p. 236, 16—17] propter theorema tertium sexti libri Elementorum Euclidis.

1) Hoc non proprie supponitur; sed u. Quaest. Arch. p. 48.

---

1 $\dot{\eta}$ — 2 $\delta\grave{\varepsilon}$ $\kappa\alpha\grave{\iota}$] del. *Wurm* (pro $\Gamma$ scripsit *M Basil.*). col. 1, 4 $\overline{\alpha}$] $G^2$, $\overline{\delta}$ A. col. 2, 4 $\overline{\nu}$] $G^2$, $\nu\gamma$ A. 5 $\overline{\tau}$] G, $\tau$ A. col. 3, 2 $\overline{\sigma\xi\varepsilon}$] $G^2$, $\varepsilon\xi\varepsilon$ A. 7 $\mu^{o}$] (h. e. $\mu o\nu\acute{\alpha}\delta\iota$) G, $\overset{o}{\mu}$ A. Ante lin. 17 repetitur fig. I p. 238 paullulum mutata in A. 17 $Z\,E\Gamma$] *Basil.*, $EZ\Gamma$ A.

φότερος ἡ ΖΕ, ΕΓ πρὸς ΖΓ, ἡ ΕΓ πρὸς ΓΗ. συναμφότερος δὲ ἡ ΕΖ, ΕΓ μείζων ἐστὶν ἤπερ $\overline{\varphi o \alpha}$· ἡ μὲν γὰρ ΖΕ ὑπόκειται $\overline{\tau \varsigma}$, ἡ δὲ ΕΓ σξε καὶ ἔτι μορίου τινός· ὥστε μείζονές εἰσι τῶν $\overline{\varphi o \alpha}$. ἡ δὲ ΖΓ ἐστιν $\overline{\rho \nu \gamma}$· συναμφότερος ἄρα ἡ ΖΕ, ΕΓ πρὸς ΖΓ μείζονα λόγον ἔχει ἤπερ $\overline{\varphi o \alpha}$ πρὸς $\overline{\rho \nu \gamma}$· ὥστε καὶ ἡ ΕΓ πρὸς ΗΓ μείζονα λόγον ἔχει ἤπερ $\overline{\varphi o \alpha}$ πρὸς $\overline{\rho \nu \gamma}$.

Ἡ ΗΕ ἄρα πρὸς ΗΓ δυνάμει λόγον ἔχει, ὃν $\overset{\lambda\delta}{M}{}_{,}\overline{\vartheta \upsilon \nu}$ πρὸς $\overset{\beta}{M}{}_{,}\overline{\gamma \upsilon \vartheta}$] συναχθήσεται δὲ τοῦτο οὕτως· ἐπεὶ γὰρ δέδεικται ἡ ΕΓ πρὸς ΓΗ μείζονα λόγον ἔχουσα ἤπερ $\overline{\varphi o \alpha}$ πρὸς $\overline{\rho \nu \gamma}$, εἴ τις ὑποθοῖτο τὴν μὲν ΕΓ $\overline{\varphi o \alpha}$, τὴν δὲ ΓΗ $\overline{\rho \nu \gamma}$, ἔσται τὸ μὲν ἀπὸ ΕΓ $\overset{\lambda\beta}{M}{}_{,}\overline{\varsigma \mu \alpha}$, τὸ δὲ ἀπὸ ΓΗ $\overset{\beta}{M}{}_{,}\overline{\gamma \upsilon \vartheta}$, συναμφότερα δὲ ἴσα ὄντα τῷ ἀπὸ ΕΗ ἔσται $\overset{\lambda\delta}{M}{}_{,}\overline{\vartheta \upsilon \nu}$. τούτων πλευρὰ τετραγωνικὴ $\overline{\varphi \varsigma \alpha}$ η′ ἔγγιστα· ἐλλείπει γὰρ ὁ ἀπὸ τοῦ $\overline{\varphi \varsigma \alpha}$ η′ τετράγωνος εἰς τὸ ἀκριβὲς $\mu^{o}\overline{\kappa \alpha}$ ς′ ιε′ ἔγγιστα· ἡ ἄρα ΕΗ πρὸς ΗΓ δυνάμει μὲν λόγον ἔχει, ὃν $\overset{\lambda\delta}{M}{}_{,}\overline{\vartheta \upsilon \nu}$ πρὸς $\overset{\beta}{M}{}_{,}\overline{\gamma \upsilon \vartheta}$, μήκει δέ, ὃν $\varphi \varsigma \alpha$ η′ ἔγγιστα πρὸς $\overline{\rho \nu \gamma}$. οἱ δὲ πολλαπλασιασμοὶ ὑπόκεινται·

| | | |
|---|---|---|
